τὴν ἰσχὺν καὶ τὸ ἀμετάπτωτον, εἰς τὸ ἑξῆς τὸ ἐν Ἀθήναις αὐτὸ ἐκεῖνο μοναστήριον τὸ ἐπ' ὀνόματι τιμώμενον τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, ὅπερ εὐλαβῶς ἀποκατέστησεν ὁ εὐλαβέστατος ἐκεῖνος ἐν ἱερεῦσι κὺρ Δημήτριος, εἴη καὶ διαμένῃ μέχρι παντὸς κοινόβιον ἀμετάτρεπτον καὶ ἀμετάθετον, καὶ διεξάγηται κατὰ τοὺς ὅρους καὶ νόμους τῶν κοινοβίων, πάντα δηλονότι τῶν ἐν αὐτῷ συνασκουμένων μοναζουσῶν καλογραιῶν, ὅσα εἰσερχόμενα φέρουσι, καὶ ὅσα μετὰ τὴν ἀπόκαρσιν κτήσωνται, εἶναι καὶ κεῖσθαι κοινὰ πρὸς χρῆσιν καὶ κυβέρνησιν τῆς ἁπασῶν συνοδίας αὐτῶν, καὶ μηδεμίαν ἄδειαν ἔχειν τινὰ τῶν πρὸς συγγενῶν ἑκάστης, τῶν ἐν αὐτῷ τῷ κοινοβίῳ συνασκουμένων μοναζουσῶν μετὰ θάνατον ἐκείνης κληρονομίαν λαμβάνειν τῆς αὐτῆς, καὶ πρᾶγμα πολὺ ἢ ὀλίγον τῆς περιουσίας τῆς θανούσης ἀποσπᾶν, καὶ ὡς κληρονομίαν ἰδίαν ἀποφέρεσθαι, ἀλλὰ μένειν ἐν τῷ μοναστηρίῳ τὰ πάντα κινητὰ ὄντα καὶ ἀκίνητα, καὶ σώζεσθαι καὶ φυλάττεσθαι εἰς χρῆσιν τοῦ κοινοβίου ἀπαράτρεπτον, διατελῇ τε τὸ αὐτὸ κοινόβιον ἀκαταπάτητον καὶ ἀδούλωτον, μηδενὸς ὅλως τολμῶντος καθαρπάσαι ἢ σφετερίσασθαι πολὺ ἢ ὀλίγον ἐξ αὐτοῦ, μόνου τοῦ ὀνόματος τοῦ κατὰ καιροὺς προϊσταμένου ἀρχιερέως μνημονευομένου ἐν αὐτῷ, κατὰ τὰς ἱερὰς τελετάς· ὁ δὲ ὁσιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικοῖς αὐτὸς κὺρ Νικηφόρος ἔχῃ ὡς καὶ πρότερον τὴν φροντίδα τοῦ αὐτοῦ κοινοβιακοῦ μοναστηρίου διαιτώμενος, καὶ κατοικῶν ἐν αὐτῷ ἐφ' ὅρῳ ζωῆς αὐτοῦ, καὶ φροντίζῃ τῆς αὐξήσεως καὶ βελτιώσεως αὐτοῦ, ἱερουργῶν τῷ Θεῷ, καὶ μνημονεύων τῶν κτιτόρων, καὶ πάντων τῶν εὐσεβῶν χριστιανῶν, παρ' οὐδενὸς ἐνοχλούμενος ἢ ἐπηρεαζόμενος ἐν τῷ ἐπιβλέπειν καὶ ἐπιτηρεῖν τὸ μοναστήριον θεαρέστως· ὃς δ' ἂν ὀψέποτε φανῇ ἐναντίος τῆς τοιαύτης ἐπικυρώσεως, καὶ πλεονεξίᾳ σατανικῇ νικώμενος ἀποσπάσαι κατατολμήσῃ τι τῶν τοῦ μοναστηρίου πραγμάτων, ἐπὶ προφάσει κληρονομίας, ὡς συγγενής τινος τῶν τελευτωσῶν καλογραιῶν, καὶ ἀδικήσῃ καὶ ζημιώσῃ τὸ κοινόβιον, ἱερωμένος μὲν ὢν ἀργὸς ἔστω πάσης ἱεροπραξίας, καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, καταφρονῶν δὲ καὶ ἀφωρισμένος ἀπὸ Θεοῦ, καὶ ἀσυγχώρητος ὡς ἄξιος τελείας καθαιρέσεως· λαϊκὸς δέ, ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος, καὶ κατηραμένος καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον, αἱ πέτραι, τὰ ξύλα, ὁ σίδηρος λυθήσονται, αὐτὸς δὲ οὐδαμῶς, καὶ ἡ μερὶς αὐτοῦ εἴη μετὰ τοῦ Ἰούδα, καὶ προκοπὴν οὐ μὴ ἴδοι, ἔχων καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, καὶ τῶν λοιπῶν Συνόδων. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἐπικυρωτικὸν σιγιλλιῶδες γράμμα, καὶ ἐδόθη τῷ αὐτῷ κοινοβίῳ. Ἐν ἔτει σωτηρίῳ ͵αχοζ' νοεμβρίου, ἰνδικτιῶνος α'.

ΤΟ ΣΙΓΙΛΛΙΟΝ ΤΗΣ ΜΟΝΗΣ ΤΑΩΣ

[Τὸ ὑπὸ πολλὰς ἐπόψεις πολύτιμον σιγίλλιον τοῦτο, ὑφ' οὗ πρὸς τοῖς ἄλλοις διαφωτίζεται καὶ τὸ περὶ τοῦ Πατριάρχου Καρύκη ζήτημα, περιεσώθη ὑπὸ τοῦ κ. Γρ. Μπουρνιᾶ, οὕτινος κοσμεῖ τὴν συλλογήν· ἀντεγράφη δὲ παρὰ τοῦ ἰδίου. Ἐν τῷ Α' τόμῳ τῆς ἱστορίας ἡμῶν (σελ. 381—387) ὁ ἀναγνώστης δύναται νὰ ἴδῃ σχετικά τινα].

† Τιμόθεος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἅπασι τοῖς κατὰ θεῖον σκοπὸν θεαρέστως καὶ εὐσεβῶς κινουμένοις γε καὶ προθυμουμένοις ἀνεγείρειν καὶ ἀνακτίζειν καὶ ἐκ βάθρων αὐτῶν ἀνοικοδομεῖν καὶ συνιστᾷν θεῖα καὶ ἱερὰ μοναστήρια, λίαν ὑπάρχει ὄντως τὸ ἀσφαλὲς καὶ ἐπάναγκες, οὐ μόνον ξύλοις καὶ λίθοις ὑλικοῖς, ὁμογενέσιν ἄλλοις, ἀλλὰ καὶ τῇ τοῦ Θεοῦ ἀρωγῇ τε καὶ χάριτι καὶ συνεργείᾳ καὶ δεήσει βοήθειαν ἀπὸ τῆς Ἐκκλησίας κτήσασθαι, ἐνδυναμοῦσαν τε καὶ περιτοιχίζουσαν αὐτὰ λόγοις ἰσχυροῖς καὶ προνομίοις καλοῖς καὶ δικαίοις θείοις, ἐλευθερίαν δηλαδὴ καὶ ἀδουλωσίαν... καὶ τοῦτον τὸν τρόπον, ὅπως εὐαγής οἶκος καὶ δεδοξασμένον θεοῦ σκήνωμα Μονὴ ἢ Μοναστήριον, ἐξοικονομηθὲν κόποις καὶ ἐξόδοις πολλοῖς παρὰ τῶν εὐπρέπειαν τοῦ οἴκου κυρίου ἀγαπησάντων καὶ τὸν τόπον τοῦ σκηνώματος τῆς δόξης αὐτοῦ....... ταῖς προϊούσαις τοῦ καιροῦ ἐπεκτάσεσι καὶ χεὶρ ἄδικος παρὰ παντὸς τοῦ εὐλόγου τε καὶ δικαίου ἀμέτοχος θέλουσα ἐξουσιάζειν, ἢ κατεπεμβαίνειν καὶ ζημιοῦν, κωλύεται τῇ ἰσχύϊ τοῦ κρείτονος ὡς εἴρηται.... μένου διεκδικεῖν καὶ ἀμύνεσθαι· ἀπόντος γὰρ τούτου ὁ μοχθῶν ἐπὶ τὴν ἄμμον ἐθεμελίωσεν. Ἐπεὶ τοίνυν καὶ οἱ ἐν τῇ ἁγιωτάτῃ Μητροπόλει Ἀθηνῶν εὐσεβέστατοι ἄνδρες, κῦρις Δημήτριος ὁ Ἀναδραμάρης καὶ κῦρις Ἰωάννης Ντούτζης ὁ Ἀλεξηνᾶς θείῳ ζήλῳ κινηθέντες πρὸ χρόνων οὐκ ὀλίγων ἀνήγειραν ἐκ βάθρων αὐτὸν ἐπὶ σταυροπηγίῳ Πατριαρχικῷ ὡς ἐπιστώθημεν ἀπὸ γράμματος τοῦ ἀοιδίμου πατριάρχου Κυροῦ Ἱερεμίου τὸν ἐν τῇ θέσει τῆς Ταῶ εὑρισκόμενον θεῖον Ναὸν τοῦ Παντοκράτορος Σωτῆρος Χριστοῦ καὶ τοῦτον δαπάναις οἰκίαις καὶ ἀναλώμασιν ὡς οἷόν τε κατακοσμήσαντες καὶ εἰς ὃ νῦν ὁρᾶται καταστήσαντες πολλοὺς μὲν καὶ ἄλλους εὗρον θαυμάζοντας καὶ ἀποδεχομένους τὴν περὶ ταῦτα προθυμίαν αὐτῶν, οὐχ ἥκιστα δὲ καὶ τοὺς ἐκ τῆς αὐτῆς πατρίδος τυγχάνοντας τόν τε ποτὲ Μητροπολίτην..... Σωφρόνιον καὶ τὸν ἐπίσκοπον Σισανίου Λαυρέντιον, ἀλλὰ δὴ καὶ τὸν ἐς

ὕστερον χρηματίσαντα Πατριάρχην Κωνσταντινουπόλεως κῦρ Θεοφάνην τὸν Καρύκην, Ἱερομόναχον ἔτι τῷ τότε ὄντα καὶ ἕτερόν τινα Παπᾶ Νεκτάριον..... αὐτόχθονες ὄντες καὶ ἱκανοί..... καὶ ἐννοῆσαι τὸ ἀναγκαῖον καὶ χρήσιμον, οὐ λόγοις μόνον τοὺς ῥηθέντας ἐδέξαντο...ἀλλὰ καὶ συμφωνίαις,καὶ ὑπόσχεσιν ἔστερξαν καὶ συνήνεσαν κοινωνῆσαι τε αὐτοῖς ἐν πᾶσι τοῖς πρὸς αὔξησιν καὶ βελτίωσιν τῆς Μονῆς συντείνουσι καὶ διὰ βίου φροντίζειν αὐτοὺς καὶ ὁλοψύχως ἐπιμελεῖσθαι καὶ προίστασθαι· ἥ τε γὰρ θέσις τῆς Ταῶ.... τῷ ὄντι καλῶς καὶ τὸ ἡσύχιον καὶ ἔξω φροντίδων τῷ τόπῳ περιέστιν ἐξ οὗ καὶ πρὸς τὸν ὅμοιον ζήλῳ διηγέρθησαν καὶ σὺν Θεῷ..... πλήθη μοναχῶν συνηθροίσθησαν καὶ τὸν Μονήρη βίον ἐπιποθήσαντες καὶ τοιούτῳ τετυχηκότες Μοναστηρίῳ ἐπιτηδείως ἔχοντι καί ἠξιώθημεν....ἐπιβεβαιῶσαι τὴν ἐλευθερίαν καὶ ἀδουλωσίαν τῆς αὐτῆς Σεβασμίας καὶ Πατριαρχικῆς Μονῆς δι' ἡμετέρου γράμματος Πατριαρχικοῦ. Τούτου χάριν τὴν αἴτησιν αὐτῶν ἀποδεξάμενοι ὡς εὔλογον οὖσαν καὶ φίλην Θεῷ τὸ παρὸν ἀπολύομεν πατριαρχικὸν ἡμῶν γράμμα καὶ ἐν ἁγίῳ πνεύματι ἀποφαινόμεθα γνώμῃ καὶ τῆς καθιερωθείσης ἱερᾶς τῶν ἀρχιερέων Συνόδου τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἡ αὐτὴ θεία καὶ ἱερὰ Μονὴ τοῦ Παντοκράτορος Σωτῆρος Χριστοῦ τῆς Ταῶ ὡς Πατριαρχικὴ καὶ Σταυροπηγιακὴ εἴη καὶ μένῃ ἐλευθέρα καὶ ἀδούλωτος καὶ ἀσύδοτος καὶ ἀτελὴς καὶ ἔχῃ πᾶσαν αὐτονομίαν καὶ αὐτοδεσποτείαν ἣν καὶ τὰ ἀπανταχοῦ κέκτηνται Πατριαρχικὰ Σταυροπηγία, συμπᾶσι τοῖς ἀφιερωμένοις ἢ καὶ ἀφιεροθησομένοις ἐν αὐτῇ κινητοῖς τε καὶ ἀκινήτοις πράγμασι καὶ τοῖς μετοχίοις αὐτῆς, μνημονεύουσα ἀκαταπαύστως τοῦ ὀνόματος τοῦ κατὰ καιροὺς οἰκουμενικοῦ Πατριάρχου μὴ τολμῶντος τοῦ κατὰ τόπον Μητροπολίτου Ἀθηνῶν τοῦ τε νῦν καὶ τῶν μετ' αὐτὸν ἐπομένων ἐναντιωθῆναι τῇ ἐλευθερίᾳ καὶ ἀδουλωσίᾳ αὐτῆς καὶ ζητῆσαί τι νοσφίσασθαι ἄχρι καὶ ὀβολοῦ οὔτε ἀπὸ τῶν τῆς Μονῆς οὔτε ἀπὸ τῶν αὐτῆς μετοχίων, ἀλλ' οὔτε ἄδειαν ἔχειν ἀργεῖν ἢ ἀφορίζειν τοὺς ἐνασκουμένους αὐτῆς, καὶ διακρίνειν ἢ ἀνακρίνειν πλὴν τοῦ συνήθους αὐτοῦ καὶ μόνου μνημοσύνου, ἢ τοῖς μετοχίοις καὶ οὐδὲν ἄλλο, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀφορισμοῦ ἀλύτου καὶ αἰωνίου τοῦ ἀπὸ Θεοῦ· διοικεῖται δὲ καὶ κυβερνᾶται παρὰ τοῦ κατὰ καιροὺς ἡγουμένου αὐτῆς μηδενὸς τῶν ἁπάντων ἱερωμένου καὶ λαϊκοῦ τολμῶντος... καταπατεῖν καὶ θλίβειν τοὺς ἐν αὐτῇ ὄντας ἢ καὶ ἐσομένους ἱερομονάχους καὶ μοναχοὺς καὶ ἀφαρπάζειν τι τῶν τῆς αὐτῆς Μονῆς ἢ καὶ τῶν αὐτῆς μετοχίων καὶ ἢ ἰδίας χρήσεις ἔχειν ἢ ἕλκειν βίᾳ καὶ δυναστείᾳ τὰ κινητὰ καὶ ἀκίνητα, χωρὶς τῆς γνώμης τοῦ ἡγουμένου καὶ τῶν λοιπῶν

ἀδελφῶν· ὁ γὰρ τὸ τοιοῦτον ποιήσων ὁποίου ἂν εἴη καταλόγου ἀφωρισμένος ἔστω ἀπὸ Θεοῦ παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος αἰωνίως ὡς αὐθάδης καὶ ἱερόσυλος· τὸν δὲ κατὰ καιροὺς ἡγούμενον τῆς Μονῆς ταύτης ἐκλέγεσθαι καὶ προβάλλεσθαι θέλομεν ὑπὸ τῶν ἐν αὐτῇ προκρίτων, γερόντων καὶ ἡγουμένων καὶ ἐφορᾷν τὴν Μονὴν μέχρις ἂν ἑαυτὸν παρέχῃ ὀρθὸν καὶ ἀνέγκλητον, μετὰ γὰρ τοῦτο ἄδειαν ἔχειν τοὺς γέροντας ἐξωθεῖν αὐτὸν τῆς ἡγουμενείας καὶ ἕτερον καθιστᾶν ἀντ' αὐτοῦ ἐπὶ συμφέροντι τῆς Μονῆς μηδενὸς τῶν ἐν αὐτῇ ἐναντιουμένου ἢ ἀντιλέγοντος ἐν ἀργίᾳ ἀσυγνώστῳ καὶ ἀφορισμῷ ἀλύτῳ τοῦ ἀπὸ Θεοῦ, ἀλλὰ καὶ τοὺς ἐνασκουμένους τῆς αὐτῆς Μονῆς ἄδειαν ἔχειν ἀποφαινόμεθα προσκαλεῖσθαι ὃν ἂν ἐθέλωσι τῶν ἀρχιερέων (ἐπιτελεῖν) τὰς ἀναγκαιούσας χειροτονίας ἐκ τῶν ἐν αὐτοῖς........ καὶ τὰ ἀρχιερατικὰ αὐτῇ ποιεῖν δίχα τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. Ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ διηνεκῆ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν τῆς ἡμῶν μετριότητος πατριαρχικὸν καὶ Συνοδικὸν Σιγιλλιῶδες γράμμα καὶ ἐπεδόθη τῇ διαληφθείσῃ ταύτῃ Σεβασμίᾳ καὶ Σταυροπηγιακῇ ταύτῃ Μονῇ τοῦ Παντοκράτορος Σωτῆρος Χριστοῦ τῆς Ταῶ καὶ δι' αὐτῆς τοῖς κατὰ καιροὺς οὖσι καὶ ἐσομένοις ἱερομονάχοις καὶ μοναχοῖς καὶ τῷ αὐτῶν καθηγουμένῳ. Ἐν ἔτει ΖΡΚΒ' (1614) Ἀπριλίου κ', ἰνδικτιῶνος ιβ'.

† *Τιμόθεος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.*

Ὁ (Ἐφέσου). Ὁ Ἡρακλείας (ἕπονται πέντε ὑπογραφαὶ ἀρχιερέων δυσανάγνωστοι).

Ὁ πρώην.... Ἄνθιμος. Ὁ Λακεδαιμονίας Διονύσιος. Ὁ Νικαίας Πορφύριος Ὁ Ἀγχιάλου.... Ὁ Φιλιππουπόλεως Ἰωάσαφ. Ὁ Χριστιανουπόλεως Νεκτάριος. (Ἕπονται ἓξ ὑπογραφαὶ ἀρχιερέων δυσανάγνωστοι). Ὁ Προικοννήσου Κλήμης. Ὁ ...... Ὁ Μεσημβρίας Πανάρετος (ἕπονται τέσσαρες ἔτι ὑπογραφαὶ δυσανάγνωστοι).

ΤΑ ΠΕΡΙ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΑΡΥΚΗ
ΔΗΜΟΣΙΕΥΜΑΤΑ

[Περὶ τοῦ ἐν τῷ ἀνωτέρω Σιγιλλίῳ μνημονευομένου περιωνύμου διά τε τὸ καλλίφωνον αὐτοῦ ἀλλὰ καὶ διὰ τὸ ἀνεκδοτικὸν καὶ περιπετειῶδες τοῦ βίου του, ἀγνοουμένου δὲ ὅλως πρό τινων ἐτῶν, Πατριάρχου Καρύκη, ἐδημοσιεύθησαν αἱ ἀκόλουθοι ἔρευναι. Περὶ αὐτοῦ ἴδε οὐσιώδη τινὰ ἐν τῷ Α΄, τόμῳ τῆς Ἱστορίας ἡμῶν σελ. 383 - 386.]

ΕΠΙΣΤΟΛΗ ΣΟΦΟΚΛΕΟΥΣ Κ. ΟΙΚΟΝΟΜΟΥ [1]

Περὶ Θεοφάνους τοῦ Καρύκη, Πατριάρχου Κωνσταντινουπόλεως.

Ἰ. Σακελλίωνι τῷ ἐλλογίμῳ φίλῳ Σ. Κ. Οἰκονόμος χαίρειν.

§ α΄. Τὸν ἐν τῷ Εὐαγγελικῷ Κήρυκι (σελ. 445. ἔτ. 1862) ἐκδεδομένον ὑπὸ σοῦ «*Κατάλογον τῶν μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως πατριαρχευσάντων*, ἐπὶ τῆς *Ἀγαρηνῆς τυραννίδος*» τοῦ μητροπολίτου Ναυπάκτου καὶ Ἄρτης Νεοφύτου τοῦ Μαυρομμάτη, ὡς εὐλόγως ἐν τοῖς αὐτόθι προειρημένοις σοι εἴκασας, μετὰ πολλῆς τῆς περιεργείας ἀνέγνων. Ἥσθην (πῶς δοκεῖς;), καὶ πάντες δ᾽ οἱ εὐφρονοῦντες καὶ τὰ πατρῷα περὶ πολλοῦ ποιούμενοι καὶ μὴ ἐν Καρὸς μοίρᾳ ποιούμενοι, καλὸν καὶ τοῦτ᾽ ἀπόγευμα λογισάμενοι τῶν ἡδίστων καρπωμάτων, ὧν ἀπὸ τοῦ καλοῦ κήπου τῆς περιπύστου Πατμιακῆς βιβλιοθήκης λίαν φιλογενῶς καὶ ἀξιομιμήτως σὺν πολλῷ τῷ καμάτῳ ἀνθολογήσας τοῖς ὁμογενέσι παραθεῖναι πεφιλοτίμησαι. Ἐν γοῦν τοῖς αὐτόθι ἀναφερομένοις Πατριάρχαις εἰκοστὸς ἕβδομος ἀπαντᾷ: «ὁ Καρύκης ὁ μουσικώτατος καὶ καλλίφωνος· ὅστις ποτὲ ἐν μιᾷ τῶν νυκτῶν ἀναβὰς εἰς ἓν τῶν Μετζιτίων ἔδωκε δόξαν τῷ Θεῷ· ἐκ τῆς οὖν μελῳδίας ἔξυπνος γενόμενος ὁ βασιλεὺς, καὶ ζητήσας αὐτὸν οὐχ εὗρε». Περὶ τούτου τοίνυν, ὡς ὀρθῶς ὑποσεσημείωκας, οὔτε ἐν τῷ καταλόγῳ τῶν Κωνσταντινουπόλεως ποιμεναρχῶν, τῷ ἐπιλεγομένῳ Ζαχαρία Μαθᾶ, οὔτε παρ᾽ ἄλλῳ τινι τῶν ἐπιχειρησάντων καταλέξαι τοὺς ἐπὶ τοῦ Οἰκουμενικοῦ θρόνου ἀναβεβηκότας ἡμετέρων τε καὶ ἀλλογενῶν (οἷον Κουπέρου, Λεκυίνου, Ἱλαρίωνος κτλ.) εὕρομέν τι. Καί πως πλάσμ᾽ ἂν δόξειε κατ᾽ ἀρχὰς τὸ λεγόμενον, ἄλλως τε καὶ μὴ ἐπικρατούσης ἐν τῷ Καταλόγῳ τῆς προσηκούσης ἀκριβείας καὶ τάξεως· τεκμήριον δὲ πλὴν ἄλλων, ἂν εἴη καὶ ἡ μετάθεσις τοῦ πρὸς

[1] Τὴν ἐπιστολὴν ταύτην ἀνέκδοτον οὖσαν ἐδημοσίευσε τὸ πρῶτον ὁ κ. Σάθας ἐν τῷ «Βιογραφικῷ σχεδιάσματι περὶ τοῦ Πατριάρχου Ἱερεμίου Β΄.» (1870).

τὰς διφθόγγους καὶ τριφθόγγους μίσους ἀπὸ τοῦ ἐπὶ Κωνσταντίνου τοῦ Κοπρωνύμου γενομένου πατριάρχου Νικήτα τοῦ Σλάβου (κατὰ τὸν παραδόντα τὸ λεγόμενον ἱστορικὸν[1]) εἰς τὸν πατριάρχην Ῥαφαὴλ τὸν Σέρβον (τῷ 1481). Ἀλλὰ καὶ ἡ ἐν τῷ παρόντι χωρίῳ παρασιώπησις τοῦ κυρίου ὀνόματος, ἄπορος τὸ πρῶτον κἀμοὶ φανεῖσα, ἀπιστότερον τὸ ἱστόρημα καθίστη. Ὕστερον μέντοι ἐπιστατικώτερον λογισαμένῳ καὶ τῆς ἀναγνώσεως τῶν ἐφεξῆς παρατεθησομένων μαρτυρίων ἀμυδρὸν παρασχούσης φῶς, ἔδοξέ μοι ἱκανῶς τὴν ὕπαρξιν τοῦ πράγματος ἀποδεδεῖχθαι. Διὸ προφρόνως ἔρχομαι λιτὸν μὲν ἀλλὰ φιλικὸν παραθησόμενός σοι ἐπίδειπνον, τοὺς περὶ τοῦ σεσιγημένου καὶ ἀκατονομάστου, δὸς δ' εἰπεῖν καὶ δυσκλεοῦς τούτου Πατριάρχου ἐπελθόντας μοι λογισμοὺς καὶ τοὺς ἐπιφανέντας μάρτυρας. Καὶ δὴ πρῶτον μὲν τοῦ κυρίου αὐτοῦ ὀνόματος οὐ παράπτωσις ἀλλὰ βραχυλογικὴ παράλειψις κακόζηλος φαίνεταί μοι ἐνταῦθ' εἶναι, ἐξυπακουομένου ἐκ τῶν ἀμέσως προειρημένων. Ἀμέσως γὰρ πρὸ τοῦ προειρημένου χωρίου κεῖται τάδε· «ΚΣΤ'. Θεοφάνης ὁ Ἀθηνῶν μῆνας ζ',» μεθ' ἃ «ΚΖ'. ὁ Καρύκης» κτλ., ἔνθεν ὑποδηλοῦ-οἶμαι, ὅτι Θεοφάνης καὶ ὁ Καρύκης οὗτος ἐκυριωνυμεῖτο.

§ β'. Ἀλλὰ τίς ἄρα καὶ ἦν ὁ παράδοξος οὗτος Καρύκης, καὶ πόσης ἔχονται ἀληθείας τὰ περὶ τῆς πατριαρχείας καὶ τῆς ἀσεβεστάτης αὐτοῦ πράξεως ἱστορούμενα; Περὶ τούτων ἔρχομαι διὰ βραχέων τὰ ἐνόντα εἰκοτολογῆσαι, ἀφορμὴν γοῦν πρὸς τελειοτέραν διασάφισιν παρεχόμενος. Ἐν γὰρ τῷ παρ' ἡμῖν χειρογράφῳ τῶν τοῦ σοφωτάτου τῶν Κυθήρων ποιμένος Μαξίμου τοῦ Μαργουνίου καὶ ἄλλων διαπρεψάντων ἐπὶ παιδείᾳ Ἑλλήνων ἐπιστολῶν καταλέγονται καὶ ἓξ (αἱ 34—39) τοῦ ἀγλαοῦ τούτου γόνου τῆς καλλιγόνου Κρήτης «Τῷ πανιερωτάτῳ Φιλιππουπόλεως Θεοφάνει τῷ Καρύκῃ» τῷ ͵αφϞ' γεγραμμέναι. Καὶ ἐν μὲν τῇ 34, ἧς σοι ἐφεξῆς ἀντίγραφον παρατίθημι, τὸ μουσικὸν αὐτοῦ καὶ εὔφωνον ὑπερεπαινῶν, παρακαλεῖ «Καὶ καινοτέροις λέγων, ἀνακίνει τὸ ἔναυλον τῆς ψυχῆς θέλγητρον ἢ ᾄσμασιν, εἰ καὶ τοῦτο δυνατὸν, ἢ γοῦν προσφθέγμασι.» Τῆς δὲ 36 τοιάνδε ποιούμενος τὴν ἀρχὴν «Ὡς ἥδιστον τῇ νοερᾷ τραπέζῃ παρεισῆκταί μοι τὸ καρύκευμα, τοῦτό τοι καὶ τῇ ἑαυτοῦ φύσει καὶ τῇ περὶ ἐμὲ σπουδῇ καὶ δὴ καὶ τῷ ἐπιτηδεύματι παραδεικνύον εἶναι σαφέστατα», περὶ τῶν πρὸς Σεβῆρον τὸν Φιλαδελφείας διαλλαγῶν εὐαγγελίζεται καὶ τὴν κατάλυσιν τῆς ἀλγεινῆς πρὸς ἐκεῖνον πανηγυρίζει διχοστασίας, ἣ καὶ τῶν ἄλλων τεσσάρων ὑπόθεσις γέγονεν. Ἐν δὲ ταῖς τοῦ ἀοιδίμου Πατριάρχου Ἀλεξανδρείας Μελετίου τοῦ Πηγᾶ γνωσταῖς σοι

[1] Βλ. Γλυκᾶ Βίβλ. Χρονικ. σελ. 527. ἐκδ. Bon.

ἐπιστολαῖς δευτέρα ἠρίθμηται ἡ «Θεοφάνει Μητροπολίτῃ Φιλιππουπόλεως» κατὰ τὸ ᾳφγά ἐπισταλεῖσα, αὐτῷ δηλονότι τῷ ἄνευ παρωνυμίου ἐνταῦθα λεγομένῳ Καρύκῃ, ὡς ἀνδρὶ οὐχ οὕτως εὐκαταφρονήτῳ (μαρτυρεῖ δὲ τὸ ἀξίωμα αὐτοῦ καὶ ὁ Μαργούνιος, ὡς εἴδομεν), περὶ τῶν τοῦ Οἰκουμενικοῦ Πατριάρχου διαφορῶν πρὸς τὸν Ἀλεξανδρείας θρόνον μηνύουσα. Κἀνταῦθα μὲν ἀναφέρεται ὁ ἀνὴρ κυριωνυμικῶς ἄνευ παρωνυμίου. Ἐν ἄλλαις ὅμως τέσσαρσι τῶν ἐπιστολῶν μέμνηται ὁ Μελέτιος τοῦ Καρύκη ἄνευ κυριωνυμίας. Καὶ δὴ ἐν μὲν τῇ πρὸς Διονύσιον τὸν Ἡρακλείας σλβ'. αἰνιγματωδῶς ὡς πρὸς εἰδότα λέγει, ὅτι ἐθλίβετο ὑπὸ τοῦ ἀπηνεστάτου κριτοῦ κατὰ τὴν ἐν Βασιλευούσῃ διατριβήν· «Ἔγνω γὰρ ἐκφοβῆσαι Μελέτιον, ἵνα τῶν ἓξ χιλιάδων τῶν χρυσῶν νομισμάτων ὁ Ἰουδαῖος ὁ συμμύστης αὐτοῦ (ὃς καὶ μετ' οὐ πολὺ δυσθανατοῦντι τῷ τότε φοβερῷ μικροῦ συναπέλαυε τῆς ἀγχόνης) τύχῃ παρ' ἐμοῦ ὧν ὤφειλεν ὁ Καρύκης». Σαφέστερον δὲ γράφει ἐν τῇ πρὸς τὸν Ῥόδου Παΐσιον σμζ'. «Εὖ δ' οἶδας ἀγωνιζομένοις ἡμῖν πρῶτον μὲν μεθ' οἵας ἐνστάσεως βιαζόμενοι παρὰ πάντων, καὶ παρ' αὐτοῦ γε τοῦ Καρύκη, τὴν ἐπιστασίαν ἀναζώσασθαι τοῦ Οἰκουμενικοῦ θρόνου, τηλικοῦτον ἐξεκλίναμεν ὄγκον δόξης, ὡς ἂν τις φαίη τῶν ἐπιπολαίως τὴν τῶν ὄντων φύσιν ἐξεταζόντων· ὡς δ' ἔχει ταῖς ἀληθείαις, πραγμάτων ὄγκον, πόνων, μόχθων, θλίψεων, κινδύνων· δεύτερον δὲ ἐπειδὰν (ἴσ. γρ. ἐπειδὴ) *τῶν τῇδε ἀπῆρεν ὁ Καρύκης*, ταῖς πανδήμοις προστεθέντος παρακλήσεσι καὶ τοῦ βασιλικοῦ προστάγματος· ὅτε δὴ καὶ θεόθεν οἰηθεὶς τὰ τῆς οἰκονομίας ἐκκρέμασθαι, εἴλημμαι μὲν τῶν οἰάκων μετ' οὐ σμικρᾶς μέντοι γε τῆς ἀθυμίας». Ἀλλ' ἔτι σαφέστερον ταῦτα διηγεῖται ἐν τῇ πρὸς τὸν Φιλαδελφείας Γαβριήλ, ἣν ὁ μακαρίτης Νεόφυτος ὁ Καυσοκαλυβίτης παρενέθηκεν ἐν τῷ προλόγῳ τῷ προτεταγμένῳ τῆς τῷ ᾳψξθ' ἐκδοθείσης *Ὀρθοδόξου ὁμολογίας* τοῦ Πηγᾶ «Ἐγράψαμεν, λέγων, πρὸς τὴν σὴν ἱερότητα ἀπ' Αἰγύπτου εὐθὺς μηνυθέντες παρὰ τῆς Συνόδου καὶ τοῦ λαοῦ σὺν καὶ βασιλικῷ προστάγματι, τοῦτο αὐτὸ μηνύοντες καὶ παρακαλοῦντες, εἰ δυνατόν σε τοῦ θρόνου τούτου τοῦ Οἰκουμενικοῦ ἀντιλαβέσθαι, εἰ δὲ μήγε, τὸν ἱερώτατον Μαργούνιον. Ἦν ἐμὸν τότε φροντίσαι, καὶ ἡμῖν τὸ πᾶν ἐπεκρέματο. Ἐβράδυνεν ἡ ἀπόκρισις· *παρεισέδυ ὁ Καρύκης*, πολλὰ βλάψας καὶ ἑαυτὸν καὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ἐν βραχέσιν [1], ἀντιλέγοντος ἐμοῦ καὶ παραινοῦντος τὰ δέοντα, πλὴν μὴ παῤῥησίᾳ πολλῶν ἕνεκα, ὥστε μηδὲ πάμπαν σιωπᾶν, μηδὲ καταβοᾶν ἀναιδέστατα. Τοῦτον ἁρπάσασα τοῦ Θεοῦ τοῦ φιλανθρώπου ἡ θεία πρόνοια πάλιν χηρεύουσαν (καί περ καὶ

[1] Παρὰ τῷ Νεοφύτῳ γέγραπται «τοῦ Θεοῦ ἐν βραχεῖ», κρεῖττον. οἶμαι.

τότε *χηρεύουσαν*· οὐ γὰρ ἦν ὁ Καρύκης νόμιμος ἀνὴρ) τὴν Ἐκκλησίαν κατέστησεν· Εἰς ἡμᾶς ἔπεσε πάλιν ὁ κλῆρος» κτλ. Ἀλλ᾽ ἔτι σαφέστερον καὶ περιστατικώτερον ἀφηγεῖται ταῦτα ἐν τῇ πρὸς Μαργούνιον καὶ Σεβῆρον κοινῇ ρπέ. ἐπιστολῇ, ἣν ἀπὸ Κωνσταντινουπόλεως τῷ 7106 (1598) ἐπέσταλκεν, ἀπολογούμενος περὶ ἀποδοχῆς τῆς ἐπιτεθείσης αὐτῷ ἐπιστασίας· «Οὐκ αὐτὸς ἐγώ, λέγει αὐτόθι, καὶ πολλαχόθεν ἄλλοθεν ἔγνων μαθὼν τὰς τοῦ Κυρίου ἐκκινήσεις κατὰ τῶν ἀμελέστερον ἢ ἐνδεέστερον τοῦ προσήκοντος τὰς προστασίας διεπόντων, κἀξ ὧν Καρύκης πέπονθεν αὐτός; Ὅς τοῦ θρόνου ἐγκρατὴς γενόμενος ἀναξίως καὶ παρ᾽ ἐμοῦ εὐθὺς ἐκ προοιμίων ἔνδον τοῦ ἱεροῦ θυσιαστηρίου ἐλεγχόμενος ἐφ᾽ οἷς σύνοιδα πνευματικῶς, καὶ νουθετούμενος ἀπέχεσθαι τῶν ὑπὲρ τὴν ἀξίαν, ὅτε παρεισέδυ ἀποδεξάμενος *τὰ τῆς μεταθέσεως κηρύγματα*, ἐκώφευε· καὶ μετὰ ταῦτα πανδημεὶ κατασυρόμενος καὶ διωχθείς, ἐμοῦ ἐπὶ μάρτυσι τῷ ἱερωτάτῳ Ἡρακλείας καὶ τῷ ἱερωτάτῳ Ῥόδου ἀγωνιζομένου, εἰς τὴν Πόλιν ἀνακληθείς, ἵνα μετὰ τιμῆς τὴν τιμὴν τοῦ Πατριάρχου ἑκουσίως ἀποβάλῃ (ἄλλως γὰρ ἦν ἀδύνατον καὶ τὴν ἐκείνου δοξομανίαν θεραπεῦσαι καὶ σβέσαι τὸ σκάνδαλον), καὶ παρακούσας· ἐμοὶ γὰρ τὴν ἀξίαν παρεχώρει, ἑτέρῳ δὲ οὐδενί· ἔλεγε γὰρ[1], Σοὶ μέν, μακαριώτατε Πάτερ, ἡδέως ὑποχωρῶ καὶ παρακαλῶ δέξασθαί σε τὸν Οἰκουμενικὸν θρόνον· ἑτέρου γὰρ ὅλως τῶν ἁπάντων οὐκ εἰμὶ ἀναξιώτερος. Ἀντέλεγον δ᾽ ἐγώ, ὡς ἀνάξιος ὢν αὐτὸς παραχωρήσει καὶ παύει τὰς κατ᾽ αὐτοῦ βλασφημίας τὰς παρὰ πάντων, προσελευθερῶν καὶ ἑαυτὸν τοῦ κρίματος καὶ τῆς ἁμαρτίας, δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Ἐγὼ γὰρ ὅλως οὐ δέχομαι, ἔλεγον, τὸ πρᾶγμα, ἀλλ᾽ ἴσως εἰσάξομέν τινα Θεοῦ ἄξιον ἱερέα. Τέλος δὲ καὶ παρόντος τοῦ Ἡρακλείας ἐλέγξας αὐτὸν ὡς οὐκ ἐξὸν γράφειν, προειπών τε καὶ τὴν ζωὴν αὐτοῦ κακὴν ἐσομένην καὶ τὸν θάνατον κακίω, εἶδον κρίσιν Θεοῦ Σαβαώθ, θάνατον ἀνέλπιστον καταδικασθέντος θεόθεν αὐτοῦ. Κατορχησάμενος γὰρ ὁ τρισάθλιος τοῦ ἱεροῦ Νιπτῆρος μετὰ χλεύης τῶν ἀκουσάντων (μόνοι γὰρ παρῆσαν σχεδὸν οἱ ἱερεῖς, καὶ αὐτοὶ μετὰ βάρους (ἴσ. βίας) καθελκυσθέντες), παρεωρακὼς τὴν λειτουργίαν τηλικαύτης ἡμέρας, μεθ᾽ ἣν εἰώθει ἐπιτελεῖσθαι ὁ Νιπτήρ, τῇ τε ὑστεραίᾳ ᾄσας, ὥς φασι, τὸ *Κύκνειον* κατὰ τὴν μεγάλην ἡμέραν τῶν σωτηρίων παθῶν· τὸ μέγα Σάββατον εὐτρεπιζόμενος καὶ ἐνδυόμενος τοὺς λεπτοὺς χιτωνίσκους, ᾔσθετο τῆς Θεοῦ ὀργῆς οὕτως ἀξίως, ὥστε πρὶν τεθνάναι ἢ ἀκουσθῆναι νοσῶν».

§ γ΄. Ἐκ τούτων τοίνυν δῆλα γίνονται τὰ ἑξῆς·

[1] Παρέλκει ὁ «γὰρ καὶ ἴσως ἐξαλειπτέος.

α΄.) Ὅτι μετὰ τὴν τοῦ Ἀθηνῶν Θεοφάνους τελευτὴν καὶ τὴν τοῦ Μελετίου εἰς τὴν βασιλεύουσαν μετάκλησιν καὶ ἄφιξιν γενομένην πρὸ τοῦ Πυανεψιῶνος (Ὀκτωβρίου) τοῦ ͵αφϟζ΄ (ὡς μαρτυρεῖ ἡ πρὸς αὐτὸν 23 ἐπιστολὴ τοῦ Μαργουνίου) καὶ μετὰ πολλὰς χρονοτριβάς, χρήμασιν (ἑξακισχιλίοις, ὡς ἔοικε, χρυσοῖς) παρεισέδυ εἰς τὸ Πατριαρχικὸν ἀξίωμα ὁ Καρύκης καὶ ἐπατριάρχησε μέχρι τοῦ μεγάλου Σαββάτου ἴσως τοῦ 1598 σωτηρίου ἔτους.

β΄.) Ὅτι οὗτος ἦν εὔφωνος ἀοιδὸς καὶ τοσοῦτον φιλῶν ᾄδειν, ὥστε καὶ αὐτὴν τὴν τῆς μεγάλης Πέμπτης λειτουργίαν παρεωρακέναι καὶ τὸν Νιπτῆρα, χάριν τοῦ ᾆσαι.

γ΄.) Ὅτι μετατεθεὶς ἐγένετο Πατριάρχης.

δ΄.) Ὅτι ἐξελεγχθεὶς καὶ ἀποδιωχθεὶς δι᾽ ἃς ἀποσιωπᾷ ὁ Μελέτιος ἀῤῥήτους κακίας· ὧν μία ἦν ἴσως καὶ ἡ παρὰ τοῦ Ἄρτης Νεοφύτου λεγομένη (ἀπίθανον γάρ μοι δοκεῖ μετὰ τὸ πατριαρχεῦσαι εἰς τοῦτ᾽ ἀπονοίας ἐκτραχηλισθῆναι), προσεκλήθη εἰς τὴν Πόλιν παραιτηθῆναι εὐσχημόνως.

ε΄.) Ὅτι παρακούσας καὶ ἀπομονωθεὶς καὶ ἀραῖς ὑποβληθείς, κατὰ τὸ μέγα σάββατον τὴν μιαρὰν αὐτοῦ ἀπέῤῥηξε ψυχήν. Ἐπειδὴ δὲ τὸ Πάσχα τοῦ 1597 τῇ 27 Μαρτίου ἑωρτάσθη, τὸ δὲ τοῦ 1598 τῇ 15 Ἀπριλίου, ἡ τελευτὴ ἄρα αὐτοῦ κινδυνεύει μεταξὺ τῆς 27 Μαρτίου τοῦ 1597 καὶ τῆς 15 Ἀπριλίου τοῦ 1598, εἰς τὴν ἐσχάτην μᾶλλον, ἔμοιγε δοκοῦν, προσήκουσα ἡμέραν· ἤτοι ἐγένετο αὕτη τῇ 14 Ἀπριλίου τοῦ 1598, ὅτε ἦν τὸ μέγα Σάββατον τοῦ ἐνιαυτοῦ ἐκείνου, ἐν ᾧ, κατὰ τὸν ἱερὸν Μελέτιον, «ἐνδυόμενος τοὺς λεπτοὺς χιτωνίσκους ᾔσθετο τῆς Θεοῦ ὀργῆς οὕτως ἀξίως, ὥστε πρὶν τεθνάναι ἢ ἀκουσθῆναι νοσῶν.»

ϛ΄.) δὲ καὶ τελευταῖον, ἐπειδὴ ὁ κατὰ τὸν Μελέτιον κακὸς κακῶς ἀπολόμενος Καρύκης ἦν εὔφωνος καὶ ᾠδικὸς καὶ ἀρχιερεὺς πρότερον, Θεοφάνης δ᾽ ἦν ὁ παρὰ τοῦ Ἄρτης Νεοφύτου ἐν τῷ Καταλόγῳ ἀριθμούμενος μουσικώτατος καὶ καλλίφωνος Καρύκης, εὔφωνος δὲ συνάμα καὶ Θεοφάνης Φιλιππουπόλεως μητροπολίτης Καρύκης, πρὸς ὃν αἱ τοῦ Μαργουνίου καὶ ἡ τοῦ Μελετίου ἐπιστολή· αὐτὸς ἄρα ὁ Φιλιππουπόλεως Θεοφάνης ἦν ὁ τῆς φιλαρχίας οἰκτρὸν γενόμενος θῦμα βραχύβιος Πατριάρχης, μεθ᾽ ὃν πάλιν τὰ τῆς ἐπιστασίας τοῦ θρόνου καὶ διὰ βασιλικοῦ προστάγματος τῷ γενναίῳ τῆς ἐκκλησίας προασπιστῇ καὶ ἀκαταβλήτῳ τῆς Ὀρθοδοξίας στύλῳ ἀνετέθησαν Μελετίῳ· ὃς καθ᾽ ὅλον σχεδὸν τὸ ͵αφϟη΄ ἔτος ἀκαταμάτως τὸν ἀμπελῶνα καθαίρων καὶ περιφράσσων καὶ καλλιεργῶν διετέλεσεν, ὡς ἐξ ἐπιστολῶν αὐτοῦ τούτου συνάγομεν.

§ δ΄. Καὶ ταῦτα μὲν περὶ τῆς ἀγνώστου τέως καὶ ἀκλεοῦς τοῦ Καρύκη πατριαρχείας, ἣν ἐπιμαρτυρεῖ ἡμῖν ὁ μακαρίτης Δυῤῥαχίου Χρύ-

σανθος, ὅς καταριθμῶν ἐν τῷ β΄. μέρει τοῦ *Μεγάλου* αὐτοῦ *Θεωρητικοῦ* (ἐκδέδοται ἐν Τεργέστῃ τῷ 1832) τοὺς ἐν τῇ ἐκκλησίᾳ διαπρέψαντας μουσικούς, λέγει (σελ. XXXV) «*Θεοφάνης Καρύκης*» πατριάρχης Κωνσταντινουπόλεως», ἐκ παραδόσεως, ἢ μᾶλλον ἔκ τινος ἐν τοῖς Πατριαρχείοις σωζομένου σημειώματος τὴν εἴδησιν ἀρυσάμενος[1]. Εἰ δὲ δεῖ τι καὶ περὶ τῆς καταγωγῆς αὐτοῦ εἰπεῖν, καὶ μὴ ἄντικρυς ματαιοπονία τὸ πρᾶγμα, οὐδαμῶς μοι δοκεῖ αὐτῷ τὸ ἐπώνυμον ἐπὶ τῇ ἡδυφωνίᾳ προσκολληθῆναι, ἀλλ᾽ ἐκ τοῦ γένους κατελθεῖν εἰς αὐτόν. Ἔν τινι γὰρ τῶν τοῦ Μαργουνίου ἐπιστολῶν, τῇ ἐν τῷ χειρογράφῳ 92, τῷ ͵αφϟζ΄ ἐπεσταλμένῃ «τῷ ὁσιωτάτῳ καὶ λογιωτάτῳ ἐν πνευματικοῖς πατράσι κυρίῳ Σαμουὴλ τῷ Πριμπέτῳ», ὅς ἐκ τοῦ αὐτόθι φερομένου «φροντίδες ἱερᾶς μονῆς ἀλλεπάλληλοι» καθηγεμὼν φαίνεται μοναστηρίου τινός· ἐν ταύτῃ οὖν ἀναγινώσκεται. «Ἐῤῥωμένον σε διαφυλάττοι ὁ Κύριος ψυχῇ τε καὶ σώματι, ὁσιώτατέ μοι καὶ λογιώτατε ἐν Χριστῷ ἀδελφέ· καὶ τοῦτ᾽ αὐτὸ δι᾽ ἡμᾶς τῷ εὐγενεστάτῳ Μιχαήλῳ τῷ Καρύκῃ διασημάναις, ἡμῖν χαριζόμενος». Ἐπειδὴ δὲ ἐκ τῆς ἀμέσως ἐφεπομένης ἐπιστολῆς αὐτοῦ πάλιν τοῦ Μαξίμου πρὸς τὸν αὐτὸν Σαμουὴλ Ἀθήνησι διατρίβων φαίνεται ὁ λόγιος ἱερομόναχος, ὑπῆρχεν ἄρα τότε ἐνταῦθα εὐγενής τις οἰκογένεια Καρύκη, ἐξ ἀρχαιοτάτων χρόνων διατηρουμένη. Ὅτι γὰρ ἦν πρὸ πολλοῦ ἐν τῇ τοῦ Κέκροπος Καρύκης, καὶ οὗτος τῶν εὐγενῶν, μαρτυρεῖ ὁ ἔτι ἐκ τοῦ ὀνόματος αὐτοῦ ἐπωνυμούμενος εὐαγὴς ναὸς τοῦ ἁγίου Γεωργίου, ὃν Καρύτση ἡ συνήθεια προφέρει, ὥσπερ καὶ τὸν τοῦ ἁγίου Νικολάου τῷ Ῥαγκαβᾷ ἡ ζῶσα παράδοσις ἀναφέρει. Ἀλλὰ κἂν τοῖς Βυζαντινοῖς οὐκ ἦν ἄγνωστον τὸ ὄνομα τοῦτο. Ἥ τε γὰρ Ἄννα ἡ Κομνηνὴ (Ἀλεξ. Β. τ. 2) καὶ Μιχαὴλ ὁ Γλυκᾶς[2] μνημονεύουσιν ἀποστασίας διπλῆς γονομένης ἔν τε Κρήτῃ καὶ Κύπρῳ, αὐταρχοῦντας Ἀλεξίου τοῦ Κομνηνοῦ· διαφωνοῦσι μέντοι περὶ τοὺς ἡγεμόνας αὐτῶν, ἡ μὲν τὴν τῆς Κρήτης τῷ Καρύκῃ προσάπτουσα, ὁ δὲ τούτων μὲν θατέρῳ, τῷ Ῥα-

[1] Ὁ σοφὸς τῆς ἱστορικῆς χρονολογίας ἀνιχνευτὴς καὶ βεβαιωτὴς καὶ τῶν ἐν ταῖς Ῥωσσικαῖς βιβλιοθήκαις ἐν χειρογράφοις θησαυρῶν ἀναδιφητὴς καὶ ἐξεταστὴς Μουράλτος ἐν Catalogue des Manuscrits grecs de la Biblioth. Imper. puplique pag. 76 (St Petersbourg, 1864), ἐν τοῖς 93 μουσικοῖς, ὧν μουσουργήματα περιέχει ὁ CXXXII κώδηξ (περὶ οὗ φησὶ τάδε «Collection de cantiques de 93 differents auteurs nommés ci-dessus munis des notes musicales faites au temps de Pierre-le-Grand. XVII au XVIII S. 4. 461 feul. etc.) ἐν τούτοις οὖν ἐνενηκοστὸν ἀναφέρει Theophanes Kyricès patriarche 320· ἔνθα ἐσφαλμένως ὁ Καρύκης μετεποιήθη εἰς Κυρίκην, ὥσπερ καὶ ὁ τέταρτος Ἀναστάσιος ὁ Ῥαψανιώτης γράφεται Rhapsientote.

[2] Βιβλ. Χρονικ. σελ. 620.

ψομμάτη, τὴν δὲ τῆς Κύπρου τῷ πρώτῳ, ὃν καὶ ἀποκαλεῖ *Κάρυκον*.

§. ε. Ταῦτα, φιλότης, εἴησαν τῆς ἐμῆς πρὸς Σὲ φιλίας καὶ τιμῆς τῆς πολλῆς λεπτὸν τεκμήριον, καὶ μαρτύριον τοῦ ζήλου, μεθ' οὗ ἐπαινῶ καὶ θαυμάζω τοὺς πόνους, οὓς πρὸς διαφώτισιν τοῦ βίου τῶν πατέρων ἡμῶν λίαν λυσιτελῶς καὶ εὐγνωμόνως διαπονεῖς, οὐ δοκεῖν ἀλλ' εἶναι χρήσιμος βουλόμενος, καὶ διὰ τοῦτο παρὰ τῶν δοκούντων παρευδοκιμούμενος· οὐ πρῶτος δ' εἶ Σὺ ἀλλ' οὐδ' ἔσχατος ἴσως, πολλοστὸς δὲ καὶ πολλῶν προηγούμενος, οὓς ὁ χρόνος μέχρι τῆς ὑπὲρ τὴν δόξαν ἀναβάσεως τῆς ἀληθείας παρ' ἡμῖν οἴσει. Καταπαύω δὲ τὸν λόγον παρασυνάψας καὶ ἣν ἔφθην ὑποσχόμενος ἐπιστολὴν τοῦ Μαργουνίου Ἔρρωσο. Ἀθήνησι τῇ 15 Νοεμβρίου 1862.

ΕΠΙΣΤΟΛΗ ΕΥΣΤΑΘΙΟΥ ΒΟΥΛΙΣΜΑ[1]

Τῷ ἐν ἰατροφιλοσόφοις λογίῳ ἀνδρὶ κυρίῳ Σοφοκλεῖ Κ. Οἰκονόμῳ
Εὐστάθιος ἀρχιμανδρίτης Βουλισμᾶς.

Ἡ ἐπισυνημμένη σημείωσις συνερράφη ἔκ τε τῶν ὑπὲρ ἐκ περισσοῦ παρατεθεισῶν ἱστορικῶν μαρτυριῶν ἐν τῇ περὶ Καρύκη ὑμετέρᾳ κριτικῇ ἐπιστολῇ καὶ ἐκ τῶν ἀπὸ τοῦ ὑμετέρου κώδηκος τοῦ Ἱέρακος ἐκδοθέντων ὑπὸ τοῦ Κ. Σάθα πατριαρχικῶν ἐγγράφων, καὶ ἐκ τῶν ἐπ' αὐτοῦ τούτου τοῦ ὑμετέρου χειρογράφου γενομένων παρατηρήσεων. Ἅπασα ἡ ὕλη ἐλήφθη ἐκ τῶν ὑμετέρων λειμώνων, ἁρμόδιον δ' ἵνα καὶ ἐν ταῖς ὑμετέραις ἀποθήκαις ἀποτεθῇ. Ἐν Ἀθήναις μηνὶ ἰουλίῳ ͵αωο΄.

Θεοφάνης ὁ ἀπ' Ἀθηνῶν καὶ Θεοφάνης ὁ Καρύκης, δύο Πατριάρχαι Κωνσταντινουπόλεως ὑπὸ Νεοφύτου τοῦ Μαυρομμάτη καταλεγόμενοι, εἶναι ἓν καὶ τὸ αὐτὸ πρόσωπον.

Ὅτι Θεοφάνης ὁ Καρύκης, ὁ μουσικὸς καὶ πρώην Φιλιππουπόλεως μητροπολίτης, εἶναι ὁ παρεισδύσας εἰς τὸν πατριαρχικὸν θρόνον Κωνσταντινουπόλεως πρὸ τῆς τοποτηρητίας τοῦ πατριάρχου Ἀλεξανδρείας Μελετίου τοῦ Πηγᾶ, ὑπεραποδεικνύεται ἐκ τῆς περὶ τοῦ Καρύκη ἐπιστολῆς τοῦ κυρίου Σοφοκλέους Οἰκονόμου· ὅτι δὲ ὁ Θεοφάνης οὗτος εἶναι ἕτερος, τοῦ ἐν πᾶσι τοῖς καταλόγοις τῶν πατριαρχῶν χαρακτηριζομένου: ἀπ' Ἀθηνῶν, δισταγμοὺς μὲν εἴχομεν τὸ κατ' ἀρχάς, πεποίθησιν δὲ ἐμορφώσαμεν ὕστερον ὅτι ἀμφότεροι εἶναι ἓν καὶ τὸ αὐτὸ πρόσωπον.

[1] Ἡ ἐπιστολὴ αὕτη ἐδημοσιεύθη ὑπὸ τοῦ διαπρεποῦς καὶ λογίου κληρικοῦ κ. Εὐσταθίου Βουλισμᾶ τότε Ἀρχιμανδρίτου καὶ ἤδη Ἀρχιεπισκόπου Κερκύρας ἐν τῇ «Ἐκκλησιαστικῇ Ἀληθείᾳ» τοῦ 1884 (τεῦχος 24 σελ. 336 καὶ ἑπ).

Πρώτην ἀφορμὴν τοῦ δισταγμοῦ περὶ τῆς μὴ διαφορᾶς τῶν δύο προσώπων ἐλάβομεν ἐκ τῆς ἐπιγραφῆς ἑνὸς ἐγγράφου ἐκ τοῦ κώδηκος τοῦ Ἱέρακος, τοῦ ὑπὸ τοῦ Κ. Σάθα ὑπ᾽ ἀριθμὸν 35 ἐκδοθέντος καὶ ἐπιγραφομένου *πρός τινας ἀρχιερεῖς Καρύκη διὰ τοῦ μεγάλου ρήτορος* (*γρ. Θεοφάνους τοῦ ἀπ᾽ Ἀθηνῶν*). Τὰ δύο στοιχεῖα *γρ*, συγκοπὴ τῆς λέξεως «γράφε», δηλοῦσι συνήθως *διόρθου* ἢ γράφε τὰ ἑξῆς *ἀντὶ τῶν ἐν τῷ κειμένῳ λέξεων*· δυνατὸν δὲ τὰ μετὰ τοῦ *γρ* νὰ ἐκληφθῶσιν ὡς προσθήκη ἢ προσδιορισμὸς τοῦ κειμένου ἀλλ᾽ ὁποιανδήποτε σημασίαν ἔχωσι, διὰ τῆς σημειώσεως ταύτης ὁ σχολιαστὴς ἀναντιρρήτως ἠθέλησε νὰ εἴπῃ: Τὸ ἑπόμενον ἔγγραφον εἶναι Θεοφάνους τοῦ ἀπὸ Ἀθηνῶν.

Τὸν δισταγμὸν ἡμῶν τοῦτον ἐνίσχυσεν ὁ πανοσιολογιώτατος ἀρχιμανδρίτης κ. Γερμανὸς Γρηγορᾶς, ὅστις παραθέσας τὰ ὑπὸ τοῦ Κ. Σάθα ἐκδοθέντα μετὰ τοῦ κώδηκος τοῦ Ἱέρακος εἶδεν ὅτι ἡ σημείωσις αὕτη δὲν ἐτυπώθη ὡς εὑρίσκεται ἐν τῷ κώδηκι. Ὁ κώδηξ ἐν τῷ περιθωρίῳ παραλλήλως τῇ ἐπιγραφῇ ἔχει μόνον *Θεοφάνους τοῦ ἀπὸ Ἀθηνῶν*· τὰ δὲ πρὸ ταύτης κείμενα ἐν τοῖς ἐκδεδομένοις δύο στοιχεῖα *γρ* εἶναι αὐτόβουλος καὶ ἀδικαιολόγητος προσθήκη τοῦ κυρίου Σάθα. Ἡ ἐκ τοῦ χειρογράφου ἔλλειψις τῶν δύο στοιχείων *γρ* ἀδιστάκτως ἀποδεικνύει ὅτι ὁ σοφὸς σχολιαστὴς προσθέσας τὰς λέξεις *Θεοφάνους τοῦ ἀπὸ Ἀθηνῶν*, ἠθέλησεν οὐχὶ νὰ διορθώσῃ τὴν ἐπιγραφὴν ἀλλὰ μᾶλλον νὰ προσδιορίσῃ τὸ ὄνομα τοῦ ἐκδόντος τὴν ἐπιστολὴν ταύτην, δηλῶν ὅτι ὁ Καρύκης εἶναι ὁ ἀπὸ τῆς μητροπόλεως Ἀθηνῶν εἰς τὸν οἰκουμενικὸν θρόνον ἀναβὰς Θεοφάνης. Γνωστὸν δὲ εἶναι καὶ τοῖς μικρὰν πεῖραν ἔχουσι τῶν πατριαρχικῶν ἐγγράφων ὅτι αἱ φράσεις «Γαβριὴλ ὁ ἀπὸ Θεσσαλονίκης, Ἄνθιμος ὁ ἀπὸ Ἐφέσου» δηλοῦσιν ὅτι ὁ Γαβριὴλ ἐγένετο πατριάρχης ἀπὸ τῆς μητροπόλεως Θεσσαλονίκης μετατεθείς, ὁ δὲ Ἄνθιμος μετετέθη ἀπὸ τῆς Ἐφέσου.

Ἀλλὰ μία ἁπλῆ σημείωσις, ἔστω καὶ μὴ ἀμφιβόλου ἐξηγήσεως, ἀρκεῖ, νὰ δώσῃ ἀναντίρρητον ἀπόδειξιν περὶ τῆς ταυτότητος τῶν δύο προσώπων; Οὐχὶ βεβαίως· οὐδὲ ταύτην θεωροῦμεν ὡς μόνην ἀπόδειξιν, ἀλλ᾽ ὡς ἐνίσχυσιν τοῦ ἐπελθόντος δισταγμοῦ. Πρὸς ἐμπέδωσιν δὲ τῆς ἰδέας ταύτης ἐρχόμεθα εἰς τὴν ἀνάπτυξιν αὐτοῦ τοῦ πράγματος ἐξ ὧν ἀποδεικνύεται· α΄) ὅτι οὐδόλως ἀντίκειται εἰς τὰ κατὰ τὴν ἐποχὴν ταύτην ἱστορούμενα ἡ ταυτότης τῶν δύο προσώπων· β΄) ὅτι μεταξὺ τοῦ θανάτου τοῦ Γαβριὴλ καὶ τῆς τοποτηρητίας τοῦ Πηγᾶ *ἓν μόνον πρόσωπον* ἐμπεριέχεται καὶ τοῦτο κατὰ μὲν τοὺς καταλόγους εἶναι *Θεοφάνης Ἀθηνῶν*, κατὰ δὲ τὰς προσφάτους μαρτυρίας εἶναι ὁ *Καρύκης*.

Α΄. Ὅτι ἡ ταυτότης τῶν δύο προσώπων δὲν ἀντίκεινται εἰς τὴν ἱστορίαν καὶ χρονολογίαν.

Κατὰ τὸν ἐν σελ. ϟγ΄ καὶ ϟδ΄ ὑπὸ τοῦ κ. Σάθα τυπωθέντα κατάλογον τὸν ἐπὶ τῶν τριῶν πατριαρχιῶν τοῦ Ἱερεμίου μνημονευομένων πατριαρχῶν κ. λ. ἐπισήμων προσώπων, Φιλιππουπόλεως μητροπολῖται φαίνονται δύο, *Θεόληπτος* καὶ *Θεοφάνης*. Καὶ *Θεόληπτος* μὲν εἶναι ὁ μετὰ τὸν Πατέσταν πατριαρχεύσας καὶ ὑπὸ τοῦ Νικηφόρου ἐξωσθείς, ὄντος τοῦ Ἱερεμίου ἐξορίστου εἰς Ρόδον, μεθ᾽ ὃν πάλιν ὁ Ἱερεμίας τὸ τρίτον ἐπατριάρχευσε· *Θεοφάνης* δὲ εἶναι αὐτὸς οὗτος ὁ Καρύκης, ὡς ἀποδεικνύεται εἰς τὴν πρὸς αὐτὸν ἐπιστολὴν τοῦ Μαργουνίου καὶ Μελετίου τοῦ Πηγᾶ, αἵτινες φέρουσι χρονολογίαν 1590 καὶ 1591 καὶ ἐν αἷς, ὡς κάλλιστα παρατηρεῖ ὁ κύριος Οἰκονόμος, μαρτυρεῖται ὡς ἀνὴρ οὐχ οὕτως εὐκαταφρόνητος. Καὶ ἐὰν μὲν ἐμπεριέχηται τὸ ὄνομα τοῦ Θεοφάνους ὡς μητροπολίτου Φιλιππουπόλεως ἐν τῇ «Τουρκογραικίᾳ», τότε οὗτος ἐγένετο Φιλιππουπόλεως ἀμέσως μετὰ τὸν Θεόληπτον· ἐὰν δὲ ἐκ τῶν ἄλλων πηγῶν ἐλήφθη τὸ ὄνομα, ἴσως διεδέχθη ἕτερον διάδοχον τοῦ Θεολήπτου. Ἀλλὰ τοῦτο πρὸς τὸν σκοπὸν ἡμῶν εἶναι ὡς διάφορον, ἀρκεῖ νὰ γνωρίζωμεν ὅτι κατὰ τὸ 1590 καὶ 1591 ὁ Θεοφάνης οὗτος ἦν Φιλιππουπόλεως. Εἰς τὸν αὐτὸν κατάλογον μητροπολῖται Ἀθηνῶν καταγράφονται τρεῖς· *Νικάνωρ Μητροφάνης* καὶ *Θεοφάνης*. Καὶ ὁ μὲν Νικάνωρ φαίνεται ὑπογεγραμμένος ἐν τῇ καθαιρέσει τοῦ Πατέστου καὶ ταῖς ψήφοις τοῦ Θεολήπτου (σελ. 142) ὁ δὲ Μητροφάνης ἐπαρουσίαζεν ἐν τῇ κατὰ τὸ 1593 συγκροτηθείσῃ μεγάλῃ συνόδῳ, ἐν ᾗ τῇ τούτου προτάσει ἐξεφωνήθη ὁ πρῶτος κανὼν ταύτης (Σάθ. σελ. 89), ὁ δὲ Θεοφάνης ἀναφέρεται ἐν τῷ κατὰ τὰς τελευταίας ἡμέρας τοῦ Ἱερεμίου ἐκδοθέντι καθαιρέσεως ἐγγράφῳ (Σάθ. σελ. 197) ἐν ἔτει ,ζρδ΄ (ἐνισταμένῳ, ἤτοι 1595). Ἐκ τούτων λοιπὸν συνάγομεν ὅτι ὁ κατὰ τὸ 1590 καὶ 1591 φαινόμενος μητροπολίτης Φιλιππουπόλεως Θεοφάνης ἠδύνατο μετὰ τὸ 1593, ἀποθανόντος ἢ μετατεθέντος τοῦ Μητροφάνους, νὰ μετατεθῇ εἰς τὴν Ἀθηνῶν μητρόπολιν. Τοιουτοτρόπως δὲ ἡ χρονολογία μᾶς ἐπιτρέπει νὰ θέσωμεν τὸν Θεοφάνην Καρύκην κατὰ μὲν τὰ ἔτη 1590 καὶ 1591 μητροπολίτην Φιλιππουπόλεως, κατὰ δὲ τὸ 1594 καὶ 1595 νὰ ἔχωμεν αὐτὸν τὸν ἴδιον μητροπολίτην Ἀθηνῶν.

Β΄. Ὅτι μεταξὺ τοῦ θανάτου τοῦ Γαβριὴλ καὶ τῆς ἐπιτροπῆς τοῦ Πηγᾶ ἓν μόνον πρόσωπον παρεισέδυ.

Τὸ ὑπ᾽ ἀριθμὸν 35 τελευταῖον ἐκ τοῦ κώδηκος τοῦ Ἱέρακος ἐκδοθὲν ὑπὸ τοῦ κ. Σάθα ἔγγραφον (σελ. 202), ἐκ τῆς ἐπιγραφῆς τοῦ ὁποίου

ἔλαβεν ἀφορμὴν ἡ σημείωσις αὕτη, εἶναι ἐγκύκλιος ἐπιστολὴ πρός τινας ἀρχιερεῖς. Τὸν ἐκδόντα τὴν ἐπιστολὴν ταύτην ὁ μὲν Ἱέραξ ἐπέγραψεν ἁπλῶς μόνον Καρύκην (εἶχε προτάξει τὴν λέξιν μητροπολίτης, ἀλλ' ὁ ἴδιος τὴν διέγραψεν), ὁ δὲ πολυμαθὴς σχολιαστής, ὡς ἐπεξηγῶν τὸ λαϊκὸν ὄνομα, ὀνομάζει Θεοφάνην τὸν ἀπὸ Ἀθηνῶν. Τὸ ὀρθὸν τῆς ἐπεξηγήσεως ταύτης ἐπιβεβαιοῖ τὸ ἐμπεριεχόμενον τῆς ἰδίας ἐπιστολης.

Αὕτη ἐν περιλήψει περιεῖχε·

α') Ὅτι οὗτος ἄλλοτε συνελθούσης τῆς μεγάλης συνόδου (ἐννοεῖ δὲ τὴν ἐν ἔτει 1593), συνεβούλευσε τόμον γενέσθαι ἐντελλόμενον τὸ μὴ τολμᾶν τοὺς περὶ τὴν Κωνσταντινούπολιν ἀρχιερεῖς μετὰ τὸ χηρεῦσαι πατριάρχου χειροτονεῖν ἕτερον πρὸ τοῦ συνελθεῖν πάντας ἢ τοὺς πλείονας.

β') Ὅτι μετὰ τὴν κανονικὴν ταύτην διαταγὴν ἐτόλμησέ τις διὰ παρουσίας δέκα καὶ μόνον ἀρχιερέων βίᾳ τὸν θρόνον ἁρπάσαι καὶ *ὀνομασθῆναι* πατριάρχην, καὶ ταῦτα *πρὸ ὀλίγου*.

γ') Ὅτι μετὰ τὸ *ἀποθανεῖν* τὸν μακαρίτην πατριάρχην Γαβριὴλ ὅμοια τοῖς ῥηθεῖσιν ἔδει γενέσθαι· ἀλλ' ὁ Κύριος ᾠκονόμησε παραγενέσθαι αὐτὸν εἰς Κωνσταντινούπολιν καὶ κοινῇ γνώμῃ, σκέψει καὶ συνδρομῇ ἐκώλυσε καὶ διέλυσε τὰ μελετώμενα τῶν ἀτόπων.

δ') Ὅτι καταπείσας τοὺς κρατοῦντας καὶ τὸ τοῦ μακαριωτάτου πατριάρχου Ἀλεξανδρείας ὄνομα τοῖς πᾶσι προθείς, ἄδειαν ἔλαβε τηρηθῆναι τὴν περὶ τούτου οἰκονομίαν καὶ κρίσιν εἴς τε τὴν ἐξουσίαν τῶν κανόνων καὶ εἰς τὴν ἄφιξιν τῶν ἀρχιερέων· καὶ τούτων ἕνεκεν γράφει καὶ συμβουλεύει.

ε') Ἀποδοῦναι τῷ μεγάλῳ ῥήτορι 1) τὰ μπακία τῆς ζητείας τοῦ κὺρ Ἱερεμίου 2) τὴν βοήθειαν ἢ πεσκέσια τοῦ κὺρ Γαβριήλ, καὶ 3) τὰ χαράτσια καὶ

ς') Παραγενέσθαι τὴν ταχίστην, ἵνα μετὰ πάντων πέρας προσῆκον τοῖς πράγμασι γένηται καὶ ὁ πρὸς τοὺς κρατοῦντας λόγος βεβαιωθῇ ὅτι χωρὶς τῆς παρουσίας αὐτῶν οὐδὲν κανονικῶς ἐπιτελεῖται.

Ἐκ τῆς περιληπτικῆς δὲ ταύτης συνόψεως συνάγομεν ὅτι α') ὁ Καρύκης ἦτο ἀληθῶς ἀνὴρ βαρύτητος καθὼς ἐκ τῶν πρὸς αὐτὸν ἐπιστολῶν τοῦ Μαργουνίου καὶ Μελετίου τοῦ Πηγᾶ συμπεραίνει ὁ κ. Οἰκονόμος, καὶ καθὼς τῷ ὄντι βλέπομεν τοῦτον ἐκ Πελοποννήσου γνώμῃ καὶ προτροπῇ τῆς συνόδου ἀποσταλέντα καὶ ἐν συνόδῳ τὸ βῆμα καταλαμβάνάνοντα καὶ ἤδη μεταξὺ τοῦ ἔθνους καὶ τῆς ἐξουσίας μεσάζοντα· β') ὅτι πρὸ *ὀλίγου* ἐτόλμησέ τις διὰ παρουσίας δέκα μόνον ἀρχιερέων ἁρπάσαι τὸν θρόνον καὶ ὀνομασθῆναι πατριάρχης. Ὅτι δὲ ὁ τολμητίας οὗτος εἶναι ὁ πρὸ τοῦ Γαβριὴλ ἐπὶ ὀλίγας μόνον ἡμέρας ὀνομασθεὶς πα-

τριάρχης Ματθαῖος, καὶ ἄλλοθεν καὶ ἐκ τῆς ἐπιστολῆς ταύτης ἀποδεικνύεται. Ἀλλ' ὅπως δήποτε κἂν ἐξηγηθῇ τὸ *πρὸ ὀλίγου*, ἐκ τῆς ἐκθέσεως ταύτης ἕπεται· γ') ὅτι μετὰ τὸν *θάνατον τοῦ Γαβριὴλ* διὰ τῆς ἐν Κωνσταντινουπόλει ἀφίξεως τοῦ Καρύκη δὲν συνέβησαν *ὅμοια τοῖς ῥηθεῖσιν*· δ') τούτου δὲ καταλαβόντος τὴν Κωνσταντινούπολιν προτίθεται μὲν τὸ ὄνομα τοῦ μακαριωτάτου πατριάρχου Ἀλεξανδρείας καὶ προσκαλοῦνται οἱ ἀρχιερεῖς διὰ τὴν κανονικὴν ἐκλογὴν κ.λ. ὁποῖα δὲ τὰ μετὰ ταῦτα, αἱ ἐπιστολαὶ τοῦ μακαριωτάτου Ἀλεξανδρείας Μελετίου τοῦ Πηγᾶ αἱ παρατεθεῖσαι ἐν τῇ περὶ Καρύκη κριτικῇ ἐπιστολῇ τοῦ σοφοῦ κ. Σ. Οἰκονόμου συνεχίζουσι τὴν ἱστορίαν.

Θεοφάνης ἄρα ὁ ἀπὸ Ἀθηνῶν καὶ Θεοφάνης ὁ πρότερον Φιλιππουπόλεως εἶναι αὐτὸς οὗτος Θεοφάνης ὁ Καρύκης. Ἐν Ἀθήναις μηνὶ ἰουλίῳ ἔτει ͵αωο'.

Ὀψίγραφον.

Ἀνακοινώσαντες τὰς ἀνωτέρω παρατηρήσεις τῷ ἐλλογιμωτάτῳ ἀρχιμανδρίτῃ κυρίῳ Γερμανῷ Γρηγορᾷ, παρατηροῦντι ὅτι πρὸς διασάφησιν τῶν τοιούτου εἴδους ζητημάτων ἡ κυριωτέρα πηγὴ εἶναι αἱ ἐπιστολαὶ τοῦ Πηγᾶ, ἐλάβομεν παρ' αὐτοῦ κατάλογον τῶν ἐπιστολῶν τούτων ἐξαχθέντων ἐκ τοῦ χειρογράφου τῆς ἐν Χάλκῃ Θεολογικῆς σχολῆς, παραβληθέντα δὲ καὶ πρὸς τὸ ἐν Ἱεροσολύμοις. Περιέχει δὲ ὁ κατάλογος οὗτος τὴν ἐπιγραφὴν καὶ τὴν ἀρχὴν ἑκάστης ἐπιστολῆς καὶ τὴν χρονολογίαν ἔνθα ἐτηρήθη ἐν ἀμφοτέροις ἢ ἐν ἑκατέρῳ κώδικι. Ἐν τούτῳ λοιπὸν ἡ ἀριθμουμένη ρμϛ' οὕτως ἔχει.

† *Τῷ Θεσσαλονίκης μητροπολίτῃ*
σὺν τοῖς ὑπ' αὐτὸν ἐπισκόποις.

«Γνωρίζομεν τῇ ὑμετέρᾳ ἀγάπῃ ὅτι ἀποθανόντος Θεοφάνους τοῦ πρώην Ἀθηνῶν ἐν Κωνσταντινουπόλει θάνατον ὀξὺν οἷς οἶδε κρίμασιν ἡ τοῦ Θεοῦ Πρόνοια. . . . Ἔρρωσθε ͵αφϟζ'».

ΣΧΕΤΙΚΑ ΕΓΓΡΑΦΑ

ΕΠΙΣΤΟΛΗ ΜΑΞΙΜΟΥ ΜΑΡΓΟΥΝΙΟΥ

† *Τῷ πανιερωτάτῳ Φιλιππουπόλεως Κυρίῳ Θεοφάνι τῷ Καρύκῃ, Μάξιμος ἐπίσκοπος Κυθήρων εὖ πράττειν.*

Ὁ δὲ πανιερώτατος καὶ τὰ τῆς ψυχῆς περιπολεύων διηνεκῶς Θεοφάνης, καὶ ἐν τοῖς μάλιστα ἡμῖν καταθύμιος, ὁποιωνοῦν τῶν πρὸς ἡμῶν ἀμοιρήσει γραμμάτων; καὶ πῶς ἂν λόγον ἔχοι τοῖς κατάχρεως αὐτῷ διὰ πολλὰ γενομένοις; ἢ πῶς ἂν ἡμεῖς τὸ μὴ ἀργὸν τοῦ νοός, κἂν ἄλλοι ἄλλως φθόνῳ τηκόμενοι τὸ τοῦ Μαργουνίου διερμηνεύουσι ψευδῶς ἐπώνυμον[1], καὶ ἔργοις αὐτοῖς ἀποδεικνύοιμεν; Ταῦτ' οὖν πρὸς τὴν ἱεράν σου ψυχὴν διαχαράττομεν, τὸ γλυκύ μοι καὶ πρᾶγμα καὶ ὄνομα, Θεόφανες ἱερώτατε, καὶ αὐτὴν τὴν ψυχὴν ἐφ' ὅσον ἐξισχύομεν, τοῖς γράμμασιν ἐναποτιθέμενοι. Καὶ γὰρ οὐκ ἀγενεῖς ἡμεῖς, τῶν περὶ σὲ παιδικῶν ἐρασταί, οὔκουν οὐδὲ τῶν ἐπί τι χρόνου ἐρώντων τεμάχιον, ἀλλὰ τὸ ἅπαξ ἐναποστάξαν ἡμῶν ταῖς ἀκοαῖς τῶν ἡδίστων καὶ σωζουσῶν σου σειρήνων φίλτρον τε καὶ μελῴδημα οὕτως ἐμφιλοχωρεῖ μου τῇ διανοίᾳ καὶ τὸ τῆς ψυχῆς κατακηλεῖ ἀφιέμενον, ὡς τῇ τοῦ ἔρωτος ὑπερβολῇ ἔσθ' ὅτε καὶ εἰς ἱεράν τινα τρέπεσθαί με μανίαν, καὶ οὐράνιόν τινα ὥσπερ ἐκ γηΐνου ἀποκαθίστασθαι, εἴπερ θεῖόν τι ἡ ἐνταῦθα μουσικὴ καὶ ὅτι μάλιστα ἀγγελοειδές, τὸν νοερὸν τῶν ἀσωμάτων περὶ τὴν ἀνωτάτω οὐσίαν χορὸν ὥσπερ τι ἀπήχημα ἔσχατον ἐκμιμούμενον. Ἆρ' ἀντικενοῖς ἡμίν οὕτω τῆς σῆς φαρέτρας τὰ βέλεμνα, ἢ καὶ ὑποτέμνεις τὰ τῆς ὁρμῆς καὶ ἀλλοσέ ποι ἀνθελκόμενός τε καὶ μεθελκόμενος; Δέδοικα γὰρ μή ποτέ σοι

[1] Τὴν παρὰ τὸ «μάργος», ὡς ἔοικεν, ἐννοεῖ παραγωγὴν τοῦ ἑαυτοῦ ἐπωνύμου Μαργούνιος, ἢ γοῦν καὶ τὴν ἀνουστέραν ταύτης παρὰ τὸ ἀργὸς νοῦς, ἃς ἀμφοτέρας ὁ ὑπερήδιστος ἀποστατίδης Ματθαῖος ὁ Καρυόφυλλος, τὸ μέγ' ὄνειαρ τῆς παπικῆς μεγαλειότητος καὶ κόσμημα τῆς τῶν παπολατρῶν εὐαγγελικῆς ἀρετῆς, συνεχάτυσεν ἐν ἑνὶ τῶν ἕνδεκα στίχων ἐκείνων, ὧν οὐκ οἶδ' ὅτι πρῶτον προσήκει θαυμάσαι, τὸ ἄχαρι καὶ ἄμουσον τῆς ὑφῆς, ἢ τῶν νοημάτων τὴν εὐτέλειαν ἢ τὸν θησαυρὸν τῆς καρδίας τοῦ ποιητοῦ, ὃν οὐ Μοῦσαι ἀλλ' Ἐριννύες φαίνονται ἐμπνέουσαι· ἔστι δὲ ὁ στίχος ὅδε «Νοῦς μάργος ἢ νοῦς ἀργὸς ἦν Μαργούνιος» (Βλ. Α. Βλαστοῦ Χιακά. Τόμ. Β. σελ. 90). Ταύτην δὲ τὴν σχολαστικὴν τῶν φθονερῶν παραγωγὴν ὑπαινίττεται καὶ τὸ παρὰ Κομνηνῷ τῷ Παπαδοπούλῳ ἀπαντῶν ἐπιτύμβιον Ἀθανασίου τοῦ Σκληροῦ τοῦ καὶ Πικρίδου εἰς τὸν ἀοίδιμον, λέγον «Οὐ μάργος ἐνθάδ' ὕπνον ὕστατον δρέπει». Βλ. Nic. Comn. Papadopol. Hist. Gymnas. Patav. T. 2. p. 265.

παρυποκλέπτει πρὸς ἑαυτὸ τὸ μεῖζον τοῦ φίλτρου τὰ νοερώτερα, ἅτε δή σοι πρὸς τὴν μουσικὴν συγγενέστερα· πλὴν ἀλλ' οὐδ' ἐκεῖνα περὶ τὴν ἱερὰν καὶ μόνην ἀπασχολοῦνται μουσικήν, τὴν ἐξαστράπτουσαν τῆς ὑπερουσίου οὐσίας λαμπηδόνα διαδεχόμενα, καθ' ἣν καὶ αὐτῶν τάξιν ἕκαστον εἴληφεν, ἀλλὰ καὶ τῆς τῶν κάτω προνοίας ἔσθ' ὅτε γίγνονται, τὸ τῆς ἀγαθοπαρόχου πανταιτίας προνοητικὸν καὶ παναρμόνιον μελούργημα ἄχρι τῶν ἐσχάτων διαβιβάζοντα, κἀντεῦθεν ἀναλόγως τοὺς ἱεροὺς τῶν προνοουμένων ὕμνους ὥσπερ τινὶ ἀντιστρόφῳ πορείᾳ ἐκεῖσε διαπορθμεύοντα, καὶ οὕτω τελοῦνταί τε καὶ τελοῦσι τοὺς μυουμένους τὰ μυστικώτερα. Καὶ αὐτὸς τοίνυν καὶ ἐνασμενίζοις ἔσθ' ὅτε ταῖς οὐρανίαις δυνάμεσι συμμουσουργῶν αὐταῖς τὰ ἀπόρρητα καὶ ταύτῃ σου τὴν ἱερὰν κατατέρπων ψυχήν, νοερῶς τοῖς νοεροῖς συναπτόμενος· ἀλλὰ καὶ πρὸς τὰ τῇδέ ποτε συγκαταβιβάζοιο, καὶ τοὺς ἐνσωμάτους ἐνσώματος ἔτι ὢν καταγλυκαίνων σοῖς ἀναγώγοις (γρ. ἀναγωγοῖς) μελῳδήμασι· καὶ γὰρ ἐμοὶ δοκεῖν οὗτος καὶ ταῖς ἱεραῖς ἐκφαντορίαις τῆς ἐνταῦθα μουσουργίας γέγονεν ὁ σκοπὸς τοῖς τὸ ἐνδότερον τῆς παραδόσεως μεταλλεύουσι· γίγνου δέ ποτε καὶ ἡμέτερος καὶ καινοτέροις ἀνακίνει τὸ ἔναυλον τῆς ψυχῆς ἡμῶν θέλγητρον, ἢ ᾄσμασιν, εἰ καὶ τοῦτο δυνατόν, ἢ γοῦν προσφθέγμασι· τάχ' ἂν καὶ συνενωθείημεν τελεώτερον ἀντερώμενοι, νοῦς νοῒ τῷ πρώτῳ καὶ ἀλλήλοις συγγιγνόμενοι, εἴπερ τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα, τοῦτό τοι τῆς ἱερᾶς γεωμετρίας τὸ μυσταγώγημα. Ἐῤῥωμένην διαφυλάττοι ὁ Κύριος τὴν σὴν πανιερότητα, ἀδελφὲ ἐν Χριστῷ παναιδεσιμώτατε. Ἐνετίηθεν, Μαιμακτηριῶνος δ' ἱσταμένου κατὰ τὸ ͵αφγ' ἔτος.

ΕΓΚΥΚΛΙΟΣ ΕΠΙΣΤΟΛΗ

Πρός τινας ἀρχιερεῖς Καρύκη, διὰ τοῦ μεγάλου ῥήτορος (γρ. Θεοφάνους τοῦ ἀπὸ Ἀθηνῶν)[1].

† Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς σῶμα ἑαυτοῦ καταδεξάμενος ὀνομάσαι τὴν πᾶσαν τοῦ θεοῦ ἐκκλησίαν, καὶ τοὺς καθ' ἕνα ἡμῶν ἀλλήλων ἀποδείξας μέλη, ἔδωκε καὶ ἡμῖν πρὸ πάντων ἔχειν οἰκείως κατὰ τὴν τῶν μελῶν συμφωνίαν, εἴτε πάσχῃ εἴτε χαίρῃ ἓν μέλος, ἢ συμπάσχωμεν ἢ καὶ συγχαίρωμεν ἀλλήλοις· διόπερ, εἰ καὶ πλεῖστον ἀλλήλων διεχωρίσμεθα ταῖς οἰκήσεσιν, ἀλλὰ τῷ γε λόγῳ τῆς συναφείας ἐγγὺς ἀλλήλων ἐσμέν. Ἐπεὶ οὖν οὐ δύνασθε εἰπεῖν ὡς ὅλως ἡμῶν οὐκ ἔχετε, πάντως οὐ

[1] Ἡ ἐν παρενθέσει σημείωσίς ἐστι τοῦ τελευταίου τοῦ κώδικος κατόχου.

δίκαιόν ἐστιν οὐδὲ λυσιτελὲς καὶ συμφέρον τὸ μὴ φροντίζειν ὑμᾶς τῆς ἐκκλησιαστικῆς εἰρήνης, ἀλλ' ἀμελῶς περὶ αὐτὴν ἔχοντας, ἐγγὺς ὁρᾷν τὰ δεινὰ, ἐξὸν ἀκούειν μακρὰν γινόμενα, καὶ τὴν παρ' ἑτέρων βοήθειαν ἐξαιτεῖν, καὶ ταῦτα ἐπιζήμιον οὖσαν, ἐξὸν ἀλλήλοις ὑμᾶς βοηθεῖν καὶ οἰκονομεῖν πάντα πρὸς τὸ τῆς ἐκκλησίας συμφέρον. Ἤδη μὲν οὖν καὶ ἄλλοτε συνελθούσης τῆς μεγάλης συνόδου, τὴν τοῦ Χριστοῦ μεγάλην ἐκκλησίαν ἐπὶ τὸ χεῖρον ὁρῶντες προκόπτουσαν, τόμον γενέσθαι συνεβουλεύσαμεν, μετὰ τῶν ἄλλων καὶ τοῦτο κανονικῶς ἐντελλόμενον, τὸ μὴ τολμᾷν τοὺς περὶ τὴν Κωνσταντινούπολιν ἀρχιερεῖς μετὰ τὸ χηρεῦσαι πατριάρχου, χειροτονεῖν ἕτερον πρὸ τοῦ συνελθεῖν πάντας τῆς ἐπαρχίας, ἢ καὶ τοὺς πλείονας, ἀφορισμοῖς αὐτὸν καὶ ἀραῖς παντοίαις ἀσφαλισάμενοι· ἀλλὰ πάντως διὰ τὸ πληθυνθῆναι τὴν κακίαν, ἐτόλμησέ τις μετὰ τὴν κανονικὴν ταύτην διαταγὴν καὶ διὰ παρουσίας δέκα καὶ μόνων ἀρχιερέων, μὴ ἐνεγκόντων τὴν ἐπενεχθεῖσαν αὐτοῖς βίαν, τὸν τοιοῦτον θρόνον ἁρπάσαι καὶ πατριάρχην ὀνομασθῆναι· καὶ γὰρ ἔγνω μετὰ τῶν στηριζόντων αὐτὸν, ὡς καὶ πολλῶν ἄλλων γενομένων τοιούτων παρὰ τοὺς θείους θεσμοὺς, οὐδεμία φροντὶς παρὰ τῶν ἀρχιερέων ἐγένετο, οὐδὲ συνεπάθησέ τις ταῖς θλίψεσι τῆς ἐκκλησίας, καὶ μάλιστα πάντων εἰδότων καλῶς, ὅτι γε τὰ κακῶς καὶ ἐπ' ἀνατροπῇ τῶν κανόνων δαπανηθέντα παρ' ἡμῶν ἀπαιτοῦνται· καὶ ταῦτα μὲν οὕτω πρὸ ὀλίγου· ἐπεὶ δὲ ἔδει καὶ μετὰ τὸ ἀποθανεῖν τὸν μακαρίτην πατριάρχην κὺρ Γαβριὴλ, ὅμοια τοῖς ῥηθεῖσι γενέσθαι (οὐκ ἐπαύσαντο γὰρ οἱ τὰ πρότερα τολμήσαντες, ἀλλ' ὥρμησαν παρὰ κανόνας καὶ χωρὶς τῆς τῶν ἀρχιερέων προτροπῆς καὶ ἀδείας τῆς πατριαρχικῆς ἀξίας ἀντέχεσθαι, ἐξ ὧν ἔμελλον δαπανηθῆναι μὲν ὀλίγα τινὰ, λογισθῆναι δὲ ταῦτα εἰς τὸ τριπλάσιον διὰ τὴν μοχθηρίαν τῶν δαπανώντων, ἥτις ἐδείχθη καὶ ἐν τοῖς προτέροις, καὶ τὸ δὴ χείριστον ὡς ἐκινδύνευε τὰ πάντα χωρὶς συνόδου ἀρχιερατικῆς καὶ σκέψεως γίνεσθαι), ὁ πάντα ἐφορῶν κύριος τὴν ἐκκλησίαν αὐτοῦ ἐλεήσας πρὸ τοῦ συμβῆναί τι τοιοῦτον, ᾠκονόμησε παραγενέσθαι ἡμᾶς εἰς τὴν Κωνσταντινούπολιν· ἔνθα γενομένης σκέψεως, γνώμῃ κοινῇ τῶν τε καθευρεθέντων πανιερωτάτων μητροπολιτῶν τῶν καὶ ἀδελφῶν ἡμῶν, καὶ συνδρομῇ τῶν τιμιωτάτων κληρικῶν, καὶ τῶν εὐγενεστάτων ἀρχόντων, τὰ μὲν ἤδη μελετώμενα τῶν ἀτόπων πάσῃ σπουδῇ ἐκωλύσαμεν, καὶ ὡς ἱστὸν ἀράχνης διελύσαμεν, καταπείσαντες δὲ τοὺς κρατοῦντας, καὶ τὸ τοῦ μακαριωτάτου πατριάρχου Ἀλεξανδρείας ὄνομα τοῖς πᾶσι προθέντες, ἵνα καὶ μᾶλλον τὸ πρᾶγμα στηρίζηται, ἄδειαν πᾶσαν ἐλάβομεν τοῦ τηρηθῆναι τὴν περὶ τούτων οἰκονομίαν καὶ κρίσιν εἴς τε τὴν ἐξουσίαν τῶν κανόνων καὶ εἰς τὴν ὑμετέραν ἄφιξιν· διὸ καὶ γράφομεν πρὸς ὑμᾶς καὶ

ἀξιοῦντες συμβουλεύομεν, ἵνα, ἐρχομένου τοῦ μεγάλου ῥήτορος κὺρ Γεωργίου καὶ δυναμένου ἀπαγγεῖλαι ὑμῖν διὰ στόματος πάντα, πρῶτον μὲν φροντίσητε ἀποδοῦναι πρὸς αὐτὸν τά τε μπακία τῆς ζητίας τοῦ κὺρ Ἱερεμίου, καὶ τὴν βοήθειαν τοῦ κὺρ Γαβριὴλ, καὶ τὰ ὀφειλόμενα χαράτζια πάντα ἀνελλιπῶς κατὰ τὰ περὶ τούτων γενόμενα πατριαρχικὰ κατάστιχα· εἶθ᾽ οὕτω θέοντες, τὸ τοῦ λόγου φάναι, καὶ πᾶσαν πρόφασιν καὶ ἀμέλειαν ἀποτιναξάμενοι, σπουδάσητε παραγενέσθαι πρὸς ἡμᾶς τὴν ταχίστην, ἵνα μεθ᾽ ὑμῶν πάντων πᾶν προσῆκον τοῖς πράγμασι γένηται, καὶ ὁ παρ᾽ ἡμῶν λόγος βεβαιωθῇ, ὃν εἴπομεν πρὸς τοὺς κρατοῦντας, ὅτι χωρὶς τῆς ἐκλογῆς τῆς παρουσίας ὑμῶν οὐδὲν τῶν καθ᾽ ἡμᾶς κανονικῶς ἐπιτελεῖται. Ταῦτα εἰδότες μὴ βραδύνατε τὴν τῶν μπακίων πάντων δόσιν, ἀναγκαιοτάτην οὖσαν μάλιστα εἰς ἀπότισιν τῶν ὀφειλομένων χρημάτων τοῖς τιμιωτάτοις κληρικοῖς τοῖς ἐν Καραμανίᾳ, οἵτινες ἐν καιρῷ ἀνάγκης τοῦ βασιλικοῦ πεσκεσίου τοῦ δοθέντος παρὰ τοῦ μακαριωτάτου κὺρ Γαβριὴλ δεδώκασιν αὐτὰ, καὶ πρόθυμοί εἰσι καὶ ἀπὸ τουνῦν βοηθῆσαι, ἱκανοὶ ὄντες καὶ κατὰ πάντα φιλόκαλοι, ἀλλὰ καὶ ὑμεῖς μετὰ σπουδῆς ἔλθετε πρὸς ἡμᾶς εἰς βεβαίωσιν τῶν τε ἡμετέρων λόγων, καὶ στηριγμὸν τῆς ἐκκλησιαστικῆς τάξεως· καὶ γὰρ ἐάν τις ὑμῶν τῶν ἀρχιερέων, ὃ οὐκ ἐλπίζομεν, οὐδὲ γένοιτο, μὴ πεισθείη ἡμῖν, εὐαγγελιζομένοις τὴν ἐλευθερίαν τῆς ἐκκλησίας καὶ συμβουλεύουσι τὰ συμφέροντα, οὕτω ποιῆσαι καὶ ἐλθεῖν, γινωσκέτω, ὅτι προηγουμένως μὲν τῆς προσηκούσης ἐκκλησιαστικῆς παιδείας πειραθήσεται, ἔπειτα δὲ καὶ τῇ δυνάμει τοῦ βασιλικοῦ ὁρισμοῦ παιδευθήσεται ἀσυγγνώστως, καὶ ἀθῷοι ἡμεῖς τῆς αἰτίας ἐσόμεθα· οὕτω γενέσθαι φροντίσατε, καὶ μὴ ἄλλως, διὰ τὸν Κύριον...

ΑΝΕΚΔΟΤΟΙ ΣΗΜΕΙΩΣΕΙΣ ΚΡΟΥΣΙΟΥ

[Καὶ τὰς πολυτίμους ταύτας σημειώσεις ἐκ τῶν ἀνεκδότων χειρογράφων τοῦ Κρουσίου ὀφείλομεν σὺν ἄλλοις εἰς τὰς ἐρεύνας τοῦ διακεκριμένου ἱστοριοδίφου, τοῦ διδάκτορος κ. Β. Μυστακίδου].

Περὶ Καρύκη

[Ἐκ χειρογράφου τοῦ Κρουσίου ἐπιγραφομένου *Diarium* (τόμος 7ος σελ. 298) ἀποτεθησαυρισμένου ἐν τῇ βιβλιοθήκῃ τῆς Τυβίγγης ὑπ᾽ ἀριθμὸν *Mh. 466*. Αἱ σημειώσεις φέρονται ἐκ στόματος τοῦ τὴν Τυβίγγην κατὰ τὴν 6 Μαΐου 1599 ἐπισκεψαμένου τὸν Κρούσιον Πελαγωνίας καὶ Περλεάπου (sic) Ἱερεμίου].

«... Patriarchae Constantinopoli, ut D. Hieremias ait, a 6 an-

nis plures... 4) ὁ.... Καρίκης Eps (=Episcopus) Φιλιπποπόλεως· 2) Ἀθηνῶν, postea patriarcha. Tunc Θ.» (δηλ. *τεθνηκώς*).

[Ἐκ τοῦ τόμου VI τοῦ αὐτοῦ χειρογράφου τοῦ Κρουσίου σελ. 358 καὶ ἑξῆς· γράφει αὐτῇ χερὶ ὁ Ἀντώνιος Ἱερεὺς ὁ τούπίκλην Γιενίτσχιος, ὁ Κορίνθιος καὶ Νεοπάτρας πρεσβύτερος, ἐπισκεψάμενος τὴν Τυβίγγην τῷ 1597].

«Ὁ παναγιώτατος είμῶν κῦρ ειερεμείας ὁ πατριάρχης τῆς Κων-»σταντινουπόλεως, συμβούλιον ἐποίησεν... ἵνα ἔλθῃ πρὸς τὴν Γερμανίαν »διὰ τὴν ἐκλεκτὴν πίστιν καὶ ἔρχετον μὲ τὸν μητροπολίτην τοῦ Τρου-»νόβου: μὲ τὸν μητροπολίτην τῆς Ἀτήνας το Καρείκυ.. κλ. κλ.

*
* *

Περὶ Δημητρίου τοῦ Ἀθηναίου

Ἐν σ. 541 τόμου Δ' τοῦ Diarium τοῦ Κρουσίου.

25 μαΐου 1593 γράφει ὁ Κρούσιος λατινιστὶ ὅτι Δημήτριος ὁ Ἀθηναῖος *τριβάρβαρος τῇ γλώττῃ* μετὰ ἑρμηνέως ἐπεσκέψατο αὐτόν. Εἶχε testimonium ὑπὸ τοῦ πρωτονοταρίου, ὃν λογοθέτην ἀπεκάλει, ἐν Κωνσταντινουπόλει γεγραμμένον καὶ ὑπὸ τοῦ Ἱερεμίου ὑπογεγραμμένον. Συνέλεγεν ἐλεημοσύνην 60 χιλιάδων ἄσπρων, εἰς ἃ ἦτο καταδεδικασμένος ὑπὸ τῶν Τούρκων, quia ipsorum religionem insectatus esset:

Γράμμα Ἱερεμίου τοῦ Β'.

«*Ἱερεμίας ἐλέῳ θεοῦ κλ....*

† Οἱ ἁπανταχοῦ εὑρισκόμενοι ἱερώτατοι ἀρχιερεῖς, εὐλαβέστατοι ἱερεῖς, χρησιμώτατοι ἄρχοντες καὶ ὁ λοιπὸς χριστώνυμος τοῦ κυρίου λαός· χάρις εἴη ὑμῖν ἅπασι καὶ εἰρήνη ἀπὸ Θεοῦ. Δέξασθε καὶ τὸν παρόντα χριστιανὸν Δημήτριον τὸν ἐξ Ἀθηνῶν, ἐρχόμενον πρὸς ὑμᾶς ἐλέους ἕνεκα. Καὶ γὰρ οὗτος εὑρισκόμενος ἐν Φιλιππουπόλει καὶ ἐργαζόμενος τὴν τέχνην αὐτοῦ(1) καὶ εὐσεβῶς διάγων διεβλήθη, ὡς ὑβρίσας τὴν τῶν Ἀγαρηνῶν θρησκείαν· κἀντεῦθεν εἰς φυλακὴν ἐμβληθεὶς καὶ πολλὰς καὶ μεγάλας τιμωρίας ὑποστὰς ὑπὲρ τοῦ φυλάξασθαι εὐσεβῶς τὴν τούτου εὐσέβειαν, τέλος δι' ἐγγύης χριστιανῶν τινων φιλοθέων, ὧν εἷς ἐστιν ὁ παρὼν Εὐστάθιος, καὶ δόσεως χρημάτων ὡσεὶ χιλιάδων ἀσπρῶν ἑξήκοντα, ἃ ἔτι ὀφείλονται, μόλις ἀπέφυγε τῶν χειρῶν τῶν κατηγόρων καὶ ἀπηνῶν ἀνδρῶν ἐκείνων. Ὅθεν γράφομεν καὶ δηλοποιοῦμεν τὴν ἀλήθειαν ὑμῖν ἅπασαν ὡς ἐπιστώθημεν ἐκ τοῦ γράμματος τοῦ ἱερωτάτου μητροπολίτου Φιλιππουπόλεως. Ἐπίδοτε πρὸς αὐτὸν ἐλεημοσύνην, ὅσην

(1) Ὁ Κρούσιος σημειοῦται ἐν τῇ ὤχ «Ait facere παπούτσια».

ἂν ἐκ Θεοῦ ὁδηγηθῆτε: ὁ μὲν πολύ, ὁ δὲ ὀλίγον, ἵνα διὰ μετὰ ταύτης (sic) δυνηθείη ὁ πτωχὸς οὗτος συνάξαι τὸ τοιοῦτον χρέος, ἄπειρον ὄν: καὶ οἱ ὑπὲρ αὐτοῦ ἐγγυηταὶ ἀνέσεως τύχωσιν: ὑμεῖς δὲ τὸν ἄξιον λήψοισθε μισθὸν ἑκατονταπλασίονα παρὰ Θεοῦ Παντοκράτορος τοῦ ὑπὲρ θυσίαν δεχομένου ἔλεον· οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ὑμῶν.

Ἐν μηνὶ μαΐῳ Ἰνδ. Ε ης (manus patriarchae γράφει ὁ Κρούσιος)

Εἰς τὸ testimonium τοῦτο ἦν ὑπογεγραμμένος καὶ *ὁ ταπεινὸς μητροπολίτης Τυρνόβου Διονύσιος*: Turnobum ab Athenis distat 17 ἡμέρας et a C/poli 7.

Περὶ τοῦ Μητροπολίτου Νικάνορος
Πληροφορίαι τινὲς περὶ Ἀθηνῶν

Ἐν σελ. 210 τοῦ Δ΄ τόμου περιέχεται καὶ τόδε τὸ σημείωμα ἐξ ἀνακοινώσεως τοῦ ἐν Τυβίγγῃ κατὰ *μάρτιον τοῦ* 1590 ἐπισκεψαμένου τὸν Κρούσιον Λεοντίου ἱερομονάχου τοῦ Κυπρίου, τοῦ Φιλοπόνου.

Athenarum metropolita est adhuc Nicanor, Thessalonicae Metrophanes. Athenis est foris adhuc ἡ Ἀκαδημία καὶ τὸ Λύκειον aliquatenus et ibi oleae. Ἡ πόλις τετειχισμενη: in qua instat Ecclesia ubi est altar ignoti Dei: sed tabula hujus Ἐπιγραφῆς sublata.

Περὶ Παλαιολόγων[1]

Ἐν σελ. 317 τοῦ Δ΄. τόμου τοῦ Diarium—Mense Julio 1591.

27 Julii (ὁ ὑπηρέτης) adducit mihi virum Graecum, μελανοπώγωνα, honeste vestitum, habentem albam crucem in sinistra et anteriore parte nigri pallii cum lato et mundo circa collum lineo collari (pfifferlingk ego voco) et cum eo adducens famulum Germanum. Accipio eos humaniter, etsi eram a lectione publica Graeca, et diurnis laboribus, fessus. Tunc ille accepit sermonem

[1] Ἐκ τῶν πολυτίμων τούτων περὶ Παλαιολόγων ἀνεκδότων σημειώσεων τοῦ Κρουσίου σχετιζομένων πρὸς τὰς προδημοσιευθείσας (Μνημείων τόμ. Α΄. σελ. 88—89. 210 καὶ 302. Ἱστορίας σελ. 177—178) καὶ πρὸς ἄλλας ἀνεκδότους ἔτι ἐρεύνας ἡμῶν λύεται τὸ περὶ τῆς σημασίας τῶν ἐν Ἀθήναις Παλαιολόγων ζήτημα καὶ τὸ περὶ τῆς συγγενείας αὐτῶν πρὸς τὸν τελευταῖον τῶν Ἑλλήνων Αὐτοκράτορα. **Δ. Γρ. Κ.**

Graecum disertissime et elegantissime. Se gaudere quia me videret: cujus nomen ubique esset notissimum in Graecia, Hierosolymis, Alexandriae, Cairi et ubi non? Dixi ego. Deo tribuatur hominis gloria, ἐγὼ δὲ ἄνθρωπος εὐτελὴς καὶ ταπεινός.

Σελ. 319 αὐτόθι. Scripsit haec mihi D(ominus) Thomas Constantinopolita Paleologus, 28 Juli 1591 ante et post prandium meum.

Ἀφοῦ ἡ Κπολις ἥλοτο ὑπὸ τῶν Τουρκῶν βασιλεύοντος τοῦ Κωνσταντίνου Παλαιολόγου ἥλοτο κωνσταντινούπολις· αυτὸς ὁ βασιλεὺς Κωνσταντῖνος ἔσχε δύο γυναῖκας· ἡ μία *Εἰρήνη* ἡ ἑτέρα *Μαρία*. Ἐκ τῆς *Εἰρήνης* ἔσχε δύο υἱοὺς *Κωνσταντῖνον* καὶ *Μανουὴλ* καὶ ἀδελφὸν *Δούκαν Ἀνδρόνικον Θεσσαλονίκης*. Αὐτὸς ὁ *Δούκας* ἔσχεν υἱὸν *Κωνσταντῖνον*. Αὐτὸς ἔσχεν υἱὸν *Μανουήλ*· ὁ *Μανουὴλ* ἐδέξατο τὸ ὄνομα τὸν μουαμετανῶν. Καὶ αὐτὸς ἔσχεν υἱὸν τοὔνομα *μουσλὴ* τοῦρκος ὤν· ἡ μήτηρ τοῦ μουσλῆ *Μαρία* τοὔνομα ἐκ γένους τοῦ *Ῥάλεος* τῆς οἰκίας. Οἱ δε ἄνωθεν υἱοὶ τοῦ αὐτοκράτωρ (sic) εἰσῆλθαν πρὸς τὴν Ρώμην, καὶ ἐκεῖ ἐτελεύτησαν. ὁ δὲ τοῦ Κωνσταντίνου ὁ ὑὸς ὁ Μανουὴλ ἐδέκατο τῶν μουαμετανῶν νομων καὶ ὑπῆρχεν ἐν ἀξιωμα παρα τοῦ βασιλέως των Τουρκῶν καὶ ὁ ὑὸς αὐτου *μουσλῆς* ἐδέξατο τὴν εἰς Χριστὸν πίστιν, καὶ λαθρα φυγὰς ᾤχετο εκ τοῖς Ἑλλάδος καὶ εἰς τὴν Βενετίαν εἰσῆλθεν καὶ ἔκτις εναιτους......»

[Εἶτα ποιεῖται λόγον περι μητροπόλεων, ἐπαρχιῶν ἐκ σελιδων 320—325.

Ἐν σελ. 326 φέρεται τόδε σχῆμα.]

Fratres	Constantinus ultim: imp. Constant. Andronicus — Constantinus, Manuel Thomas de patre testatur principe Dux Venetus Ciconia 16 August. media Xa (ut audio) ὁ λαμπρότατος κύριος Θωμᾶς discessit.

Agit XXXX^{m} aetatis annum. habet unicum fratrem, nullam sororem. Nomen fratris Turcicum Σουλεϊμάν: post baptisma dictus est Κωνσταντῖνος. Thomæ nomen ante βάπτισμα μουσλης erat.

ΑΝΕΚΔΟΤΟΣ ΒΙΟΓΡΑΦΙΑ

ΠΡΟΚΟΠΙΟΥ ΒΕΝΙΖΕΛΟΥ ΔΗΜΟΓΕΡΟΝΤΟΣ ΑΘΗΝΩΝ

[Τὴν ἀνέκδοτον ταύτην βιογραφίαν τοῦ Προκοπίου Βενιζέλου, ἑνὸς τῶν τελευταίων τριῶν Δημογερόντων Ἀθηνῶν (1820—1821) τῶν ἐξ ὡρισμένης οἰκογενειακῆς τάξεως ἐκλεγομένων ὑπὸ τοῦ Ἀθηναϊκοῦ λαοῦ, παραδοθεῖσαν ὑμῖν ὑπὸ τῶν ἀπογόνων του, εὐχαρίστως δημοσιεύομεν. Παρατηρήσεις τινας θέλομεν καταχωρίσει ἐν οἰκείῳ τόπῳ].

